A

# EURIPIDES
## MEDEA

THE TEXT EDITED WITH
INTRODUCTION AND COMMENTARY
BY

DENYS L. PAGE, M.A.
STUDENT AND TUTOR OF CHRIST CHURCH, OXFORD
UNIVERSITY LECTURER IN GREEK AND
LATIN LITERATURE

882.3
J35

OXFORD
AT THE CLARENDON PRESS

# CONTENTS

INTRODUCTION . . . . . . vi
The Play . . . . . . vi
The Legend . . . . . . xxi
Euripides and Neophron . . . . xxx
The Text . . . . . . xxxvii
Euripides' Medea in Art . . . . lvii

TEXT AND APPARATUS CRITICUS . . . 1

COMMENTARY . . . . . . 61

METRICAL SCHEME AND NOTES . . . 182

# ΜΗΔΕΙΑ

ΤΡΟΦΟΣ

Εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος
Κόλχων ἐς αἶαν κυανέας Συμπληγάδας,
μηδ' ἐν νάπαισι Πηλίου πεσεῖν ποτε
τμηθεῖσα πεύκη, μηδ' ἐρετμῶσαι χέρας
ἀνδρῶν ἀρίστων, οἳ τὸ πάγχρυσον δέρας
Πελίᾳ μετῆλθον. οὐ γὰρ ἂν δέσποιν' ἐμὴ
Μήδεια πύργους γῆς ἔπλευσ' Ἰωλκίας
ἔρωτι θυμὸν ἐκπλαγεῖσ' Ἰάσονος·
οὐδ' ἂν κτανεῖν πείσασα Πελιάδας κόρας
πατέρα κατῴκει τήνδε γῆν Κορινθίαν
ξὺν ἀνδρὶ καὶ τέκνοισιν, ἁνδάνουσα μὲν
φυγῇ πολιτῶν ὧν ἀφίκετο χθόνα,
αὐτή τε πάντα ξυμφέρουσ' Ἰάσονι·
ἥπερ μεγίστη γίγνεται σωτηρία,
ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.
νῦν δ' ἐχθρὰ πάντα, καὶ νοσεῖ τὰ φίλτατα.
προδοὺς γὰρ αὑτοῦ τέκνα δεσπότιν τ' ἐμὴν
γάμοις Ἰάσων βασιλικοῖς εὐνάζεται,
γήμας Κρέοντος παῖδ', ὃς αἰσυμνᾷ χθονός·
Μήδεια δ' ἡ δύστηνος ἠτιμασμένη

5 ἀρίστων codd. et Σ: ἀριστέων Wakefield δέρας] δέρος L Π[1], cf. Eustath. in Il. p. 600 12 πολιτῶν codd. et Σ: αις sup. ῶν scr. v 13 τε] δὲ Stob. 74. 30 17 αὑτοῦ Haun.: αὐτοῦ rell. τ' om. A 18 βασιλικῆς V: corr. V[1]

βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιᾶς
πίστιν μεγίστην, καὶ θεοὺς μαρτύρεται
οἵας ἀμοιβῆς ἐξ Ἰάσονος κυρεῖ.
κεῖται δ' ἄσιτος, σῶμ' ὑφεῖσ' ἀλγηδόσι,
τὸν πάντα συντήκουσα δακρύοις χρόνον,
ἐπεὶ πρὸς ἀνδρὸς ᾔσθετ' ἠδικημένη,
οὔτ' ὄμμ' ἐπαίρουσ' οὔτ' ἀπαλλάσσουσα γῆς
πρόσωπον· ὡς δὲ πέτρος ἢ θαλάσσιος
κλύδων ἀκούει νουθετουμένη φίλων·
ἢν μή ποτε στρέψασα πάλλευκον δέρην
αὐτὴ πρὸς αὑτὴν πατέρ' ἀποιμώξῃ φίλον
καὶ γαῖαν οἴκους θ', οὓς προδοῦσ' ἀφίκετο
μετ' ἀνδρὸς ὅς σφε νῦν ἀτιμάσας ἔχει.
ἔγνωκε δ' ἡ τάλαινα συμφορᾶς ὕπο
οἷον πατρῴας μὴ ἀπολείπεσθαι χθονός.
στυγεῖ δὲ παῖδας οὐδ' ὁρῶσ' εὐφραίνεται.
δέδοικα δ' αὐτὴν μή τι βουλεύσῃ νέον·
[βαρεῖα γὰρ φρήν, οὐδ' ἀνέξεται κακῶς
πάσχουσ'· ἐγᾦδα τήνδε, δειμαίνω τέ νιν
μὴ θηκτὸν ὤσῃ φάσγανον δι' ἥπατος,
σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος,
ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνῃ,
κἄπειτα μείζω συμφορὰν λάβῃ τινά.]
δεινὴ γάρ· οὔτοι ῥᾳδίως γε συμβαλὼν
ἔχθραν τις αὐτῇ καλλίνικον οἴσεται.
ἀλλ' οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι

21 δὲ om. A  21, 22 δεξιᾶς πίστιν A V L F : δεξιάς, πίστιν B P *l* Schol. Ar. Nub. 81  24 ἀλγηδόνι B et Σ ad v. 97  25 γρ. συντείνουσα Σ B  30 ἢν μή ποτε L (δ super μ $L^1$) P B F γρ. *v* et Σ B : ἣν μή ποτε A V (tum ἣν in ἢ correxit nescio quae manus in V)  δέρην] κάρα L  31 αὑτὴν L $B^2$ : αὐτὴν rell.  ἀποιμώξῃ L P B : ἀποιμώζῃ F : ἀποιμώζει A V  35 μὴ 'πολείπεσθαι L P  37 νέον A L P *v* : κακὸν V B F  38–43 damnavit omnes Dindorf, 41–3 Hermann, alios alii  39 τέ] δέ L P  42 τόν τε] τόνδε V et, ut vid., L : corr. *v* et $L^1$  44 οὔτοι V B suprascr. $A^1$ : οὔτι A L P

στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι
κακῶν· νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.

ΠΑΙΔΑΓΩΓΟΣ

παλαιὸν οἴκων κτῆμα δεσποίνης ἐμῆς,
τί πρὸς πύλαισι τήνδ' ἄγουσ' ἐρημίαν
ἕστηκας, αὐτὴ θρεομένη σαυτῇ κακά;
πῶς σοῦ μόνη Μήδεια λείπεσθαι θέλει;

Τρ. τέκνων ὀπαδὲ πρέσβυ τῶν Ἰάσονος,
χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν
κακῶς πίτνοντα, καὶ φρενῶν ἀνθάπτεται.
ἐγὼ γὰρ ἐς τοῦτ' ἐκβέβηκ' ἀλγηδόνος,
ὥσθ' ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ
λέξαι μολούσῃ δεῦρο δεσποίνης τύχας.

Πα. οὔπω γὰρ ἡ τάλαινα παύεται γόων;

Τρ. ζηλῶ σ'· ἐν ἀρχῇ πῆμα κοὐδέπω μεσοῖ.

Πα. ὦ μῶρος, εἰ χρὴ δεσπότας εἰπεῖν τόδε·
ὡς οὐδὲν οἶδε τῶν νεωτέρων κακῶν.

Τρ. τί δ' ἔστιν, ὦ γεραιέ; μὴ φθόνει φράσαι.

Πα. οὐδέν· μετέγνων καὶ τὰ πρόσθ' εἰρημένα.

Τρ. μή, πρὸς γενείου, κρύπτε σύνδουλον σέθεν·
σιγὴν γάρ, εἰ χρή, τῶνδε θήσομαι πέρι.

Πα. ἤκουσά του λέγοντος, οὐ δοκῶν κλύειν,
πεσσοὺς προσελθών, ἔνθα δὴ παλαίτατοι
θάσσουσι, σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ,
ὡς τούσδε παῖδας γῆς ἐλᾶν Κορινθίας
σὺν μητρὶ μέλλοι τῆσδε κοίρανος χθονὸς

49 ΠΑΙΔΑΓΩΓΟΣ A L P: πρεσβύτης καὶ παιδαγωγὸς B: πρεσβύτης V. Post h. v. semper παιδγ. L P, semper πρε. B, alibi aliud A V. 52 σου L H 57 μ' ὑπῆλθε codd.. etiam Π² μ' ὑπῆλθε, cf. fragm. trag. in P. Greci e Lat. ii, p. 56 n. 134 [ι]μερος μ υπηλθε: μοι ἐπῆλθε b 58 μολούσῃ A B V P H Π², cf. Philem. fr. 79 Kock: μολοῦσαν L v δεσποίνης A B H suprascr. V¹, et Schol. ad Phoen. 1: μηδείας V (ἢ δεσποίνης suprascr. V¹) L P Π², cf. Ennium fr. 3 64 τὰ om. A 68 πεσσοὺς] θώκους Chr. Pat. 1181 παλαίτατοι] παλαίτεροι Chr. Pat. 1181 71 ματρὶ H μέλλοι A V: μέλλει L P B

Κρέων. ὁ μέντοι μῦθος εἰ σαφὴς ὅδε
οὐκ οἶδα· βουλοίμην δ' ἂν οὐκ εἶναι τόδε.
Τρ. καὶ ταῦτ' Ἰάσων παῖδας ἐξανέξεται
πάσχοντας, εἰ καὶ μητρὶ διαφορὰν ἔχει;
Πα. παλαιὰ καινῶν λείπεται κηδευμάτων,
κοὐκ ἔστ' ἐκεῖνος τοῖσδε δώμασιν φίλος.
Τρ. ἀπωλόμεσθ' ἄρ', εἰ κακὸν προσοίσομεν
νέον παλαιῷ, πρὶν τόδ' ἐξηντληκέναι.
Πα. ἀτὰρ σύ γ', οὐ γὰρ καιρὸς εἰδέναι τόδε
δέσποιναν, ἡσύχαζε καὶ σίγα λόγον.
Τρ. ὦ τέκν', ἀκούεθ' οἷος εἰς ὑμᾶς πατήρ;
ὄλοιτο μὲν μή· δεσπότης γάρ ἐστ' ἐμός·
ἀτὰρ κακός γ' ὢν ἐς φίλους ἁλίσκεται.
Πα. τίς δ' οὐχὶ θνητῶν; ἄρτι γιγνώσκεις τόδε,
ὡς πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ,
[οἳ μὲν δικαίως, οἳ δὲ καὶ κέρδους χάριν,]
εἰ τούσδε γ' εὐνῆς οὕνεκ' οὐ στέργει πατήρ.
Τρ. ἴτ', εὖ γὰρ ἔσται, δωμάτων ἔσω, τέκνα.
σὺ δ' ὡς μάλιστα τούσδ' ἐρημώσας ἔχε
καὶ μὴ πέλαζε μητρὶ δυσθυμουμένῃ.
ἤδη γὰρ εἶδον ὄμμα νιν ταυρουμένην
τοῖσδ', ὥς τι δρασείουσαν· οὐδὲ παύσεται
χόλου, σάφ' οἶδα, πρὶν κατασκῆψαί τινα.
ἐχθρούς γε μέντοι, μὴ φίλους, δράσειέ τι.
ΜΗΔΕΙΑ ⟨ἔνδοθεν⟩
ἰώ,
δύστανος ἐγὼ μελέα τε πόνων,

73 τάδε *v* et Chr. Pat. 1186 74 ἀνέξεται A 78 ἆρ' A 80 τόδε A V B H: τάδε L P 82 ὑμᾶς A V B: ἡμᾶς L P et, ut vid., H 84 γ' om. A V B H 85 γινώσκεις A V B L[1] Σ: γινώσκεισ H: γινώσκει P γρ. V γρ. B[2], et histriones secundum Σ (οἱ δὲ ὑποκριταὶ . . . μετατιθέασιν εἰς τό· τίς δ' οὐχὶ θνητῶν τοῦτο γινώσκει σαφῶς;) 87 del. Brunck (περισσὸς ὁ στίχος, Σ) 89 Personae notam om. A: v. 90 πρεσβύτῃ tribuit B: idem fortasse voluit A (ἐρημώσασ' ἔχει v. 90) 90 σύ θ' L P 95 μὲν μὴ H 96 δύστηνος V L P

ἰώ μοί μοι, πῶς ἂν ὀλοίμαν;
Τρ. τόδ' ἐκεῖνο, φίλοι παῖδες· μήτηρ
κινεῖ κραδίαν, κινεῖ δὲ χόλον.
σπεύσατε θᾶσσον δώματος εἴσω
καὶ μὴ πελάσητ' ὄμματος ἐγγύς,
μηδὲ προσέλθητ', ἀλλὰ φυλάσσεσθ'
ἄγριον ἦθος στυγεράν τε φύσιν
φρενὸς αὐθάδους.
ἴτε νῦν, χωρεῖθ' ὡς τάχος εἴσω.
δῆλον δ' ἀρχῆς ἐξαιρόμενον
νέφος οἰμωγῆς ὡς τάχ' ἀνάψει
μείζονι θυμῷ· τί ποτ' ἐργάσεται
μεγαλόσπλαγχνος δυσκατάπαυστος
ψυχὴ δηχθεῖσα κακοῖσιν;
Μη. αἰαῖ,
ἔπαθον τλάμων ἔπαθον μεγάλων
ἄξι' ὀδυρμῶν· ὦ κατάρατοι
παῖδες ὄλοισθε στυγερᾶς ματρὸς
σὺν πατρί, καὶ πᾶς δόμος ἔρροι.
Τρ. ἰώ μοί μοι, ἰὼ τλήμων.
τί δέ σοι παῖδες πατρὸς ἀμπλακίας
μετέχουσι; τί τούσδ' ἔχθεις; οἴμοι,
τέκνα, μή τι πάθηθ' ὡς ὑπεραλγῶ.
δεινὰ τυράννων λήματα καί πως
ὀλίγ' ἀρχόμενοι, πολλὰ κρατοῦντες

98 μάτηρ LP 100 σπεύσατε LP : σπεύδετε AVBH θᾶττον AH 102 καὶ μὴ προσέλθετ' A φυλάσσεσθε AV : φυλάσεσθε P : φυλάσεσθ' B : φυλάσσετε L[1] in rasura 105 νυν Dindorf 106 ἀρχῆς AVBH *l*: ἐξ ἀρχῆς P suprascr. V[1] et primitus, ut vid., L 107 ἀνάψει] ἀνάξει L et γρ. Σ : H non legibilis 110 ψυχὴ δὲ A κακοῖσιν L cum Galen. V. p. 318 (= Hip. et Pl. 284 M.), Stob. 20. 30 : κακοῖς ἢ τῆς μηδείας miro consensu AVBPH 111 αἰαῖ] ἒ ἒ αἶ αἶ V : ἒ ἒ ἕ A : ἒ ἒ B: αἶ αἶ ἒ ἒ H τλήμων A[1]VBH Alterum ἔπαθον om. LP 113 μητρὸς AVBH 114 πᾶς] παῖδας A 115 Notam τρο. non huic sed sequenti v. praef. VB[2] τλῆμον ALPH 120 πολλῶν V : corr. V[1]

χαλεπῶς ὀργὰς μεταβάλλουσιν.
τὸ γὰρ εἰθίσθαι ζῆν ἐπ' ἴσοισιν
κρεῖσσον· ἐμοὶ γοῦν ἐν μὴ μεγάλοις
ὀχυρῶς γ' εἴη καταγηράσκειν.
τῶν γὰρ μετρίων πρῶτα μὲν εἰπεῖν
τοὔνομα νικᾷ, χρῆσθαί τε μακρῷ
λῷστα βροτοῖσιν· τὰ δ' ὑπερβάλλοντ'
οὐδένα καιρὸν δύναται θνητοῖς·
μείζους δ' ἄτας, ὅταν ὀργισθῇ
δαίμων οἴκοις, ἀπέδωκεν.

ΧΟΡΟΣ

ἔκλυον φωνάν, ἔκλυον δὲ βοὰν
τᾶς δυστάνου Κολχίδος, οὐδέ πω
ἤπιος· ἀλλ' ὦ γηραιά,
λέξον. ἐπ' ἀμφιπύλου γὰρ ἔσω μελάθρου βοὰν
ἔκλυον· οὐδὲ συνήδομαι, ὦ γύναι, ἄλγεσιν
δώματος· ἐπεί μοι φίλον κέκρανται.

Τρ. οὐκ εἰσὶ δόμοι· φροῦδα τάδ' ἤδη.
τὸν μὲν γὰρ ἔχει λέκτρα τυράννων,
ἁ δ' ἐν θαλάμοις τάκει βιοτὰν
δέσποινα, φίλων οὐδενὸς οὐδὲν
παραθαλπομένα φρένα μύθοις.

Μη. αἰαῖ.
διά μου κεφαλᾶς φλὸξ οὐρανία

123 *ἐμοὶ γοῦν* DH (*εμοι γουν*) A (*ἔμοι γουν*) L (*ἔμοιγοῦν*): *ἔμοιγ' οὖν* BVPΣ *ἐν μὴ μεγάλοις* Mikkelsen: *εἰ μὴ μεγάλως* codd. et Σ 124 *γ'* Reiske: *τ'* codd. 128 *οὐθ*ν**** mut. in *οὐδ*ν**** L: *οὐδένα l* *θνητοῖς*] *βροτοῖς* V 130 *ἀπέδωκαν* L 133 *γηραιά* V: *γεραιά* ABLPH 135 *βοὰν* BLPΣ: *βοὴν* VH: *μολὼν* A 136 *ὦ* om. P*l*: L non legibilis 138 *ἐπεί μοι* VBLPH: *εἰπέ μοι* A: *ἐπεὶ μὴ* v*l* *φίλα κέκραται l*: *φίλον κέκραται* H, corr. H¹ 140 *τὸν* H (coniecerat Musgrave): *ὁ* codd. et suprascr. H *λέκτρα* AVBH: *δῶμα* LP 141 *ἃ δ'*] *ἣ δ'* B: *ἧδ'* VLH: *ἡ δ'* AP *τήκει* A 143 *παραθαλπομένη* V *φρένα* om. H, sed suprascr.; om. A, add. manus recentior 144 *κεφαλῆς* V cum Hierocle aur. carm. p. 99

βαίη· τί δέ μοι ζῆν ἔτι κέρδος;
φεῦ φεῦ· θανάτῳ καταλυσαίμαν
βιοτὰν στυγερὰν προλιποῦσα.

Χο. ἄιες, ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς, [στρ.
ἀχὰν οἵαν ἁ δύστανος
μέλπει νύμφα;
τίς σοί ποτε τᾶς ἀπλάτου
κοίτας ἔρος, ὦ ματαία;
σπεύσει θανάτου τελευτάν;
μηδὲν τόδε λίσσου.
εἰ δὲ σὸς πό-
σις καινὰ λέχη σεβίζει,
κοινὸν τόδε· μὴ χαράσσου·
Ζεύς σοι τάδε συνδικήσει. μὴ λίαν
τάκου δυρομένα σὸν εὐνάταν.

Μη. ὦ μεγάλα Θέμι καὶ πότνι' Ἄρτεμι
λεύσσεθ' ἃ πάσχω, μεγάλοις ὅρκοις
ἐνδησαμένα τὸν κατάρατον
πόσιν; ὅν ποτ' ἐγὼ νύμφαν τ' ἐσίδοιμ'
αὐτοῖς μελάθροις διακναιομένους,
οἵ' ἐμὲ πρόσθεν τολμῶσ' ἀδικεῖν.
ὦ πάτερ, ὦ πόλις, ὧν ἀπενάσθην
αἰσχρῶς τὸν ἐμὸν κτείνασα κάσιν.

148 ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς Medeae tribuit Apollodorus Tarsensis ap. Σ: καὶ φῶς καὶ γᾶ H 149 ἀχὰν Elmsley: ἰαχὰν codd. 150 νύμφαν A 151 τίς L suprascr. υ: τί A V B P H ἀπλάτου Elmsley: ἀπλάστου A V B H: ἀπλήστου L P B² 152 ἔρος *l*: ἔρως codd. Interrogationis signum post ματαία add. Weil. 153 σπεύδει suprascr. in V τελευτά· Weil 157 κοινὸν Verrall: κείνῳ codd. punctum post τόδε H et Σ (ἐκείνῳ λίσσου γενέσθαι τόδε): om. codd. et Σ alius μὴ om. A 158 τάδε L P: τόδε A B V H 159 ὀδυρομένα codd. (H non legibilis: sed τάκου bis scripsit, altero loco eras.): corr. Musgrave εὐνέταν codd.: corr. Tyrwhitt. Cf. v. 183 162 ἐνδησαμένη A L P 164 αὐτοῖς τοῖς V 165 οἵ' ἐμὲ Kaibel: οἵ γε με codd. 167 Post hunc versum paroemiacum excidisse suspicatur Witzschel

Τρ. κλύεθ' οἷα λέγει κἀπιβοᾶται
Θέμιν εὐκταίαν Ζῆνά θ', ὃς ὅρκων
θνητοῖς ταμίας νενόμισται;
οὐκ ἔστιν ὅπως ἔν τινι μικρῷ
δέσποινα χόλον καταπαύσει.

Χο. πῶς ἂν ἐς ὄψιν τὰν ἁμετέραν [ἀντ.
ἔλθοι μύθων τ' αὐδαθέντων
δέξαιτ' ὀμφάν,
εἴ πως βαρύθυμον ὀργὰν
καὶ λῆμα φρενῶν μεθείη;
μήτοι τό γ' ἐμὸν πρόθυμον
φίλοισιν ἀπέστω.
ἀλλὰ βᾶσά
νιν δεῦρο πόρευσον οἴκων
ἔξω· φίλα καὶ τάδ' αὔδα.
†σπεῦσαι πρίν τι† κακῶσαι τοὺς εἴσω·
πένθος γὰρ μεγάλως τόδ' ὁρμᾶται.

Τρ. δράσω τάδ'· ἀτὰρ φόβος εἰ πείσω
δέσποιναν ἐμήν·
μόχθου δὲ χάριν τήνδ' ἐπιδώσω.
καίτοι τοκάδος δέργμα λεαίνης
ἀποταυροῦται δμωσίν, ὅταν τις
μῦθον προφέρων πέλας ὁρμηθῇ.
σκαιοὺς δὲ λέγων κοὐδέν τι σοφοὺς
τοὺς πρόσθε βροτοὺς οὐκ ἂν ἁμάρτοις,

170 θνατοῖς L P 171 κοὐκ V σμικρῷ L P 176 εἴ πως] in οὔ πως corr. V[1], cum nota γρ. καὶ ἤ πως ὀργὴν V 177 καὶ μεθείη λῆμα φρενῶν H 178, 179 μήτοι . . . ἀπέστω Nutrici tribuunt omnes praeter L (H non legibilis): in A nota τρο. v. 178 omissa, sed χορ. habet v. 180 μήτοι] μή μοι A P H *l* 181 οἴκων om. A 182 αὖδα V: corr. *v* 183 σπεῦσαι A B H: σπεῦσον V L P: σπεύσασά τι πρὶν κακῶσαι Wecklein, fortasse recte 185 om. B, add. B[1]: habent A V L P H D O Σ ἐμάν L 189 προσφέρων A V ὁρμάθῃ codd. (H vix legibilis) 191 ἀμάρτης V L: corr. *v*

οἵτινες ὕμνους ἐπὶ μὲν θαλίαις
ἐπί τ' εἰλαπίναις καὶ παρὰ δείπνοις
ηὕροντο βίου τερπνὰς ἀκοάς·
στυγίους δὲ βροτῶν οὐδεὶς λύπας
ηὕρετο μούσῃ καὶ πολυχόρδοις
ᾠδαῖς παύειν, ἐξ ὧν θάνατοι
δειναί τε τύχαι σφάλλουσι δόμους.
καίτοι τάδε μὲν κέρδος ἀκεῖσθαι
μολπαῖσι βροτούς· ἵνα δ' εὔδειπνοι
δαῖτες, τί μάτην τείνουσι βοήν;
τὸ παρὸν γὰρ ἔχει τέρψιν ἀφ' αὑτοῦ
δαιτὸς πλήρωμα βροτοῖσιν.

Χο. ἀχὰν ἄ-
ιον πολύστονον γόων,
λιγυρὰ δ' ἄχεα μογερὰ βοᾷ
τὸν ἐν λέχει προδόταν κακόνυμφον·
θεοκλυτεῖ δ' ἄδικα παθοῦσα
τὰν Ζηνὸς ὁρκίαν Θέμιν, ἅ νιν ἔβασεν
Ἑλλάδ' ἐς ἀντίπορον
δι' ἅλα νύχιον ἐφ' ἁλμυρὰν
Πόντου κλῇδ' ἀπέραντον.

ΜΗΔΕΙΑ

Κορίνθιαι γυναῖκες, ἐξῆλθον δόμων,
μή μοί τι μέμφησθ'· οἶδα γὰρ πολλοὺς βροτῶν
σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο,

192 ἐπὶ μὲν θαλίαις om. L P : add. *l*: sup. τ' εἰλαπίναις (v. 193) scr. τ' ἐν θαλίαις H[1] 194 βίου] fortasse βίῳ 200 μολπῇσι V 204 ἀχὰν Dindorf : ἰαχὰν codd. 205 πολυστόνων B[2] γόον A H et fortasse L (γόων H[1] et in ras. *l*): γόου suprascr. A[1] 206 μογερὰ A B[2] *v l* Σ : μογερᾷ V B L P et, ut vid., H 208 δ' ἄδικα A B *l* : δὲ τἄδικα V P et sine dubio L (H vix legibilis) 209 Ζανὸς Brunck 210 ἐς A B L : εἰς V P H 212 ἀπεράντου Milton 215 μέμφησθ' A B : μέμφοισθ' V et, ut vid., H : μέμψησθ' L : μέμψοισθ' P 216 ὀμμάτων τ' A V

τοὺς δ' ἐν θυραίοις· οἱ δ' ἀφ' ἡσύχου ποδὸς
δύσκλειαν ἐκτήσαντο καὶ ῥᾳθυμίαν.
δίκη γὰρ οὐκ ἔνεστ' ἐν ὀφθαλμοῖς βροτῶν,
ὅστις πρὶν ἀνδρὸς σπλάγχνον ἐκμαθεῖν σαφῶς
στυγεῖ δεδορκώς, οὐδὲν ἠδικημένος.
χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει·
οὐδ' ἀστὸν ᾔνεσ' ὅστις αὐθάδης γεγὼς
πικρὸς πολίταις ἐστὶν ἀμαθίας ὕπο.
ἐμοὶ δ' ἄελπτον πρᾶγμα προσπεσὸν τόδε
ψυχὴν διέφθαρκ'· οἴχομαι δὲ καὶ βίου
χάριν μεθεῖσα κατθανεῖν χρῄζω, φίλαι.
ἐν ᾧ γὰρ ἦν μοι πάντα, γιγνώσκει καλῶς,
κάκιστος ἀνδρῶν ἐκβέβηχ' οὑμὸς πόσις.
πάντων δ' ὅσ' ἔστ' ἔμψυχα καὶ γνώμην ἔχει
γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν·
ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ
πόσιν πρίασθαι, δεσπότην τε σώματος
λαβεῖν· κακοῦ γὰρ τοῦτ' ἔτ' ἄλγιον κακόν.
κἀν τῷδ' ἀγὼν μέγιστος, ἢ κακὸν λαβεῖν
ἢ χρηστόν. οὐ γὰρ εὐκλεεῖς ἀπαλλαγαὶ
γυναιξίν, οὐδ' οἷόν τ' ἀνήνασθαι πόσιν.
ἐς καινὰ δ' ἤθη καὶ νόμους ἀφιγμένην
δεῖ μάντιν εἶναι, μὴ μαθοῦσαν οἴκοθεν,
ὅπως μάλιστα χρήσεται ξυνευνέτῃ.
κἂν μὲν τάδ' ἡμῖν ἐκπονουμέναισιν εὖ

219 ἔνεστ' ἐν] ἔνεστιν ut vid. primitus L et lemma Σ B et gnomologium Venetum 220 ἐκμάθοι L (θεῖν suprascr. L[1]) : ἐκμάθῃ Eustath. Il. p. 415 222 ante h. v. nota Medeae in V. Chorone igitur vv. 219–221 tribuit? 224 πολίταις L P $v$ suprascr. B[1] : πολίτης A V B H 228 γιγνώσκει scripsi : γιγνώσκειν (vel γιν-) codd. : γιγνώσκεις Musgrave ex schol. B οἱ δ' ὑποκριταὶ οὐ συμπεριφερόμενοι τῷ τρόπῳ λέγουσι γινώσκειν καλῶς : γιγνώσκω Canter 231 φυτόν] γρ. γένος A 232 δεῖ om. A 234 τοῦτ' ἔτ' Brunck τοῦτ' A V H : τοῦ δ' ἔτ' L P : τοῦτό γ' B et Stob. 73. 27 (τοῦ γ' codex A Stobaei) : τόδ' Haun. 235 λαβεῖν L P suprascr. $v$ : λάβει H : λάβῃ A V B 240 ὅπως Meineke : ὅτῳ codd. 241 μὲν om. A

πόσις ξυνοικῇ μὴ βίᾳ φέρων ζυγόν,
ζηλωτὸς αἰών· εἰ δὲ μή, θανεῖν χρεών.
ἀνὴρ δ', ὅταν τοῖς ἔνδον ἄχθηται ξυνών,
ἔξω μολὼν ἔπαυσε καρδίαν ἄσης·
[ἢ πρὸς φίλον τιν' ἢ πρὸς ἥλικα τραπείς·]
ἡμῖν δ' ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν.
λέγουσι δ' ἡμᾶς ὡς ἀκίνδυνον βίον
ζῶμεν κατ' οἴκους, οἱ δὲ μάρνανται δορί·
κακῶς φρονοῦντες· ὡς τρὶς ἂν παρ' ἀσπίδα
στῆναι θέλοιμ' ἂν μᾶλλον ἢ τεκεῖν ἅπαξ.
  ἀλλ' οὐ γὰρ αὑτὸς πρὸς σὲ κἄμ' ἥκει λόγος·
σοὶ μὲν πόλις θ' ἥδ' ἐστὶ καὶ πατρὸς δόμοι
βίου τ' ὄνησις καὶ φίλων συνουσία,
ἐγὼ δ' ἔρημος ἄπολις οὖσ' ὑβρίζομαι
πρὸς ἀνδρός, ἐκ γῆς βαρβάρου λελησμένη,
οὐ μητέρ', οὐκ ἀδελφόν, οὐχὶ συγγενῆ
μεθορμίσασθαι τῆσδ' ἔχουσα συμφορᾶς.
τοσοῦτον οὖν σου τυγχάνειν βουλήσομαι,
ἤν μοι πόρος τις μηχανή τ' ἐξευρεθῇ
πόσιν δίκην τῶνδ' ἀντιτείσασθαι κακῶν,
[τὸν δόντα τ' αὐτῷ θυγατέρ' ἥν τ' ἐγήματο,]
σιγᾶν. γυνὴ γὰρ τἄλλα μὲν φόβου πλέα
κακή τ' ἐς ἀλκὴν καὶ σίδηρον εἰσορᾶν·
ὅταν δ' ἐς εὐνὴν ἠδικημένη κυρῇ,
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.
Χο. δράσω τάδ'· ἐνδίκως γὰρ ἐκτείσῃ πόσιν,

244 om A  245 ἄσης A B H $L^1$ : ἄτης V : ἄσσης P : ἄσην primitus L (καρδίας ἄσην Olympiodorus in Plat. Alcib. p 188, καρδίαν ἄσης H)  246 del. Wilamowitz  φίλον] φίλων primitus L et $Haun.^2$  ἥλικα] ἥλικας Haun.  252 αὑτὸς suprascr. $A^1$ $L^1$ : αὐτὸς codd.  253 πόλις θ' A L P : πόλις B H : γὰρ πόλις V  254 συνουσία] κοινωνία suprascr. B γρ. A : συνουσία κοινωνία H  257 οὐχὶ] οὐδὲ L P  259 οὖν L P : δὲ A V B  261 δίκην D : δίκῃ rell.  τόνδ' L  262 del. Lenting  δόντα γ' L P  ἥν] ἣ Porson  264 κακή τ' Tyrwhitt : κακὴ δ' codd.  267 δράσω P suprascr. υ : δράσον A B : δρᾶσον rell., fort. recte



Μήδεια. πενθεῖν δ' οὔ σε θαυμάζω τύχας.
ὁρῶ δὲ καὶ Κρέοντα, τῆσδ' ἄνακτα γῆς,
στείχοντα, καινῶν ἄγγελον βουλευμάτων.

ΚΡΕΩΝ

σὲ τὴν σκυθρωπὸν καὶ πόσει θυμουμένην,
Μήδει', ἀνεῖπον τῆσδε γῆς ἔξω περᾶν
φυγάδα, λαβοῦσαν δισσὰ σὺν σαυτῇ τέκνα·
καὶ μή τι μέλλειν· ὡς ἐγὼ βραβεὺς λόγου
τοῦδ' εἰμί, κοὐκ ἄπειμι πρὸς δόμους πάλιν,
πρὶν ἄν σε γαίας τερμόνων ἔξω βάλω.
Μη. αἰαῖ· πανώλης ἡ τάλαιν' ἀπόλλυμαι.
ἐχθροὶ γὰρ ἐξιᾶσι πάντα δὴ κάλων,
κοὐκ ἔστιν ἄτης εὐπρόσοιστος ἔκβασις.
ἐρήσομαι δὲ καὶ κακῶς πάσχουσ' ὅμως·
τίνος μ' ἕκατι γῆς ἀποστέλλεις, Κρέον;
Κρ. δέδοικά σ', οὐδὲν δεῖ παραμπίσχειν λόγους,
μή μοί τι δράσῃς παῖδ' ἀνήκεστον κακόν.
συμβάλλεται δὲ πολλὰ τοῦδε δείματος·
σοφὴ πέφυκας καὶ κακῶν πολλῶν ἴδρις,
λυπῇ δὲ λέκτρων ἀνδρὸς ἐστερημένη.
κλύω δ' ἀπειλεῖν σ', ὡς ἀπαγγέλλουσί μοι,
τὸν δόντα καὶ γήμαντα καὶ γαμουμένην
δράσειν τι. ταῦτ' οὖν πρὶν παθεῖν φυλάξομαι.
κρεῖσσον δέ μοι νῦν πρός σ' ἀπεχθέσθαι, γύναι,
ἢ μαλθακισθένθ' ὕστερον μέγα στένειν.
Μη. φεῦ φεῦ.
οὐ νῦν με πρῶτον, ἀλλὰ πολλάκις, Κρέον,

268 θαυμάσω B  272 Μήδει', ἀνεῖπον Harrison : Μήδειαν εἶπον codd.  273 σαυτῇ L : αὐτῇ rell.  275 δό*** V : δόμους $V^1$  278 δὴ om. A  280 πάσχουσ'] λέγουσ' A  281 τῆσδε γῆς V  282 παραμπίσχειν L : περιαμπίσχειν P : παραμπέχειν A V B et Σ V, Σ B, formam Euripidi inusitatam  284 om. L, suppl. $L^1$  287 ἀπειλεῖν σ' L et, ut vid., $B^2$ : ἀπειλεῖν A V P : ἀπειλεῖς B  290 ἀπέχθεσθαι codd. (ἀπέχεσθαι A B) : corr. Elmsley  292 με om. A, add. *a*

ἔβλαψε δόξα μεγάλα τ' εἴργασται κακά.
χρὴ δ' οὔποθ' ὅστις ἀρτίφρων πέφυκ' ἀνὴρ
παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς·
χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν ἀργίας
φθόνον πρὸς ἀστῶν ἀλφάνουσι δυσμενῆ.
σκαιοῖσι μὲν γὰρ καινὰ προσφέρων σοφὰ
δόξεις ἀχρεῖος κοὐ σοφὸς πεφυκέναι·
τῶν δ' αὖ δοκούντων εἰδέναι τι ποικίλον
κρείσσων νομισθεὶς ἐν πόλει λυπρὸς φανῇ.
ἐγὼ δὲ καὐτὴ τῆσδε κοινωνῶ τύχης.
σοφὴ γὰρ οὖσα, τοῖς μέν εἰμ' ἐπίφθονος,
[τοῖς δ' ἡσυχαία, τοῖς δὲ θατέρου τρόπου,]
τοῖς δ' αὖ προσάντης· εἰμὶ δ' οὐκ ἄγαν σοφή.
σὺ δ' οὖν φοβῇ με· μὴ τί πλημμελὲς πάθῃς;
οὐχ ὧδ' ἔχει μοι, μὴ τρέσῃς ἡμᾶς, Κρέον,
ὥστ' ἐς τυράννους ἄνδρας ἐξαμαρτάνειν.
σὺ γὰρ τί μ' ἠδίκηκας; ἐξέδου κόρην
ὅτῳ σε θυμὸς ἦγεν. ἀλλ' ἐμὸν πόσιν
μισῶ· σὺ δ', οἶμαι, σωφρονῶν ἔδρας τάδε.
καὶ νῦν τὸ μὲν σὸν οὐ φθονῶ καλῶς ἔχειν·
νυμφεύετ', εὖ πράσσοιτε· τήνδε δὲ χθόνα
ἐᾶτέ μ' οἰκεῖν. καὶ γὰρ ἠδικημένοι
σιγησόμεσθα, κρεισσόνων νικώμενοι.
Κρ. λέγεις ἀκοῦσαι μαλθάκ', ἀλλ' ἔσω φρενῶν
ὀρρωδία μοι μή τι βουλεύσῃς κακόν·
τοσῷδε δ' ἧσσον ἢ πάρος πέποιθά σοι·

293 δόξα codd. et Σ: γλῶσσα Stob. 36. 3 296 ἄλλης] ἀλκῆς A 297 πρὸς] παρ' citat. Aristot. Rhet. 1394 a 34 298 σοφὰ] ἔπη B² et denuo *b* 301 λυπρὸς ἐν πόλει A V B 304 del. Pierson: om. A, sed ipse margini adscripsit: habuit Σ 306 σὺ δ' οὖν A L P: σὺ δ' αὖ V B μὴ τί ... πάθῃς; Murray: μή τι ... πάθῃς codd. (πάθῃς; B) 307 ἔχοιμι A V 308 ὥστ'] ὡς A 309 σὺ γὰρ τί L P: τί γὰρ σύ A V B 313 πράσσοιτε A V B: πράσσετε L P: πράσσοντε Hermann δὲ] δὴ L P *v* 317 βουλεύῃς Elmsley 318 τοσῷδε δ' A V B: τοσῷδέ γ' L P



γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὔτως ἀνήρ,
ῥᾴων φυλάσσειν ἢ σιωπηλὸς σοφός.
ἀλλ' ἔξιθ' ὡς τάχιστα, μὴ λόγους λέγε·
ὡς ταῦτ' ἄραρε, κοὐκ ἔχεις τέχνην ὅπως
μενεῖς παρ' ἡμῖν οὖσα δυσμενὴς ἐμοί.
Μη. μή, πρός σε γονάτων τῆς τε νεογάμου κόρης.
Κρ. λόγους ἀναλοῖς· οὐ γὰρ ἂν πείσαις ποτέ.
Μη. ἀλλ' ἐξελᾷς με κοὐδὲν αἰδέσῃ λιτάς;
Κρ. φιλῶ γὰρ οὐ σὲ μᾶλλον ἢ δόμους ἐμούς.
Μη. ὦ πατρίς, ὥς σου κάρτα νῦν μνείαν ἔχω.
Κρ. πλὴν γὰρ τέκνων ἔμοιγε φίλτατον πολύ.
Μη. φεῦ φεῦ, βροτοῖς ἔρωτες ὡς κακὸν μέγα.
Κρ. ὅπως ἄν, οἶμαι, καὶ παραστῶσιν τύχαι.
Μη. Ζεῦ, μὴ λάθοι σε τῶνδ' ὃς αἴτιος κακῶν.
Κρ. ἕρπ', ὦ ματαία, καί μ' ἀπάλλαξον πόνων.
Μη. πονοῦμεν ἡμεῖς κοὐ πόνων κεχρῄμεθα.
Κρ. τάχ' ἐξ ὀπαδῶν χειρὸς ὠσθήσῃ βίᾳ.
Μη. μὴ δῆτα τοῦτό γ', ἀλλά σ' αἰτοῦμαι, Κρέον.
Κρ. ὄχλον παρέξεις, ὡς ἔοικας, ὦ γύναι.
Μη. φευξούμεθ'· οὐ τοῦθ' ἱκέτευσα σοῦ τυχεῖν.
Κρ. τί δ' αὖ βιάζῃ κοὐκ ἀπαλλάσσῃ χθονός;
Μη. μίαν με μεῖναι τήνδ' ἔασον ἡμέραν
καὶ ξυμπερᾶναι φροντίδ' ᾗ φευξούμεθα,
παισίν τ' ἀφορμὴν τοῖς ἐμοῖς, ἐπεὶ πατὴρ
οὐδὲν προτιμᾷ μηχανήσασθαι τέκνοις.
οἴκτιρε δ' αὐτούς· καὶ σύ τοι παίδων πατὴρ
πέφυκας· εἰκὸς δ' ἐστὶν εὔνοιάν σ' ἔχειν.

319 αὔτως V B *l*: αὕτως A L P 322 ἔχει V: corr. *v* 323 μενεῖς L P *v*: μένῃς A B V 329 πλεῖν γὰρ τέκνων φίλτατον ἔμοιγε πολύ V: corr. τέκνον V¹: πλὴν *v* κἄμοιγε Bothe πολύ] πόλις B² 332 λάθῃ L P et Zonaras ann. x. 20: corr. *p* 333 ἕρπ'] ἔρρ' Valckenaer 334 πόνοις suprascr. L¹ 335 ὠσθήσῃ A L: ὠθήσῃ V B P 336 τοῦτό γ'] τοῦτ' L 339 δ' αὖ A V L B: δ' οὖν P: δὴ Elmsley: δαὶ Housman 342 τε φορβὴν γρ. B¹ 345 εἰκὸς δέ σφιν Vitelli

τοὐμοῦ γὰρ οὔ μοι φροντίς, εἰ φευξούμεθα,
κείνους δὲ κλαίω συμφορᾷ κεχρημένους.
Κρ. ἥκιστα τοὐμὸν λῆμ' ἔφυ τυραννικόν,
αἰδούμενος δὲ πολλὰ δὴ διέφθορα·
καὶ νῦν ὁρῶ μὲν ἐξαμαρτάνων, γύναι,
ὅμως δὲ τεύξῃ τοῦδε· προυννέπω δέ σοι,
εἴ σ' ἡ 'πιοῦσα λαμπὰς ὄψεται θεοῦ
καὶ παῖδας ἐντὸς τῆσδε τερμόνων χθονός,
θανῇ· λέλεκται μῦθος ἀψευδὴς ὅδε.
νῦν δ', εἰ μένειν δεῖ, μίμν' ἐφ' ἡμέραν μίαν·
οὐ γάρ τι δράσεις δεινὸν ὧν φόβος μ' ἔχει.
Χο. δύστανε γύναι,
φεῦ φεῦ, μελέα τῶν σῶν ἀχέων,
ποῖ ποτε τρέψῃ; τίνα πρὸς ξενίαν
ἢ δόμον ἢ χθόνα σωτῆρα κακῶν;
[ἐξευρήσεις]
ὡς εἰς ἄπορόν σε κλύδωνα θεός,
Μήδεια, κακῶν ἐπόρευσε.
Μη. κακῶς πέπρακται πανταχῇ· τίς ἀντερεῖ;
ἀλλ' οὔτι ταύτῃ ταῦτα, μὴ δοκεῖτέ πω.
ἔτ' εἴσ' ἀγῶνες τοῖς νεωστὶ νυμφίοις
καὶ τοῖσι κηδεύσασιν οὐ σμικροὶ πόνοι.
δοκεῖς γὰρ ἄν με τόνδε θωπεῦσαί ποτε,
εἰ μή τι κερδαίνουσαν ἢ τεχνωμένην;
οὐδ' ἂν προσεῖπον οὐδ' ἂν ἡψάμην χεροῖν.
ὁ δ' ἐς τοσοῦτον μωρίας ἀφίκετο,
ὥστ', ἐξὸν αὐτῷ τἄμ' ἑλεῖν βουλεύματα

351 σοι] σε A  354 θαν* L: corr. *l*  355, 356 eiecit Nauck  Post 356 olim legebatur v. 380 (σιγῇ . . . λέχος): histriones in eo peccasse dicit Didymus ap. Σ  δράσεις] δράσαις V B  357 δύστανε γύναι om. L P D  359 πρὸς ξενίαν A V L D et primitus B: προξενίαν P B¹ et Σ B  360 δόμων L P: corr. *l*  361 ἐξευρήσεις 'non male abesset', Elmsley: ἐξευρήσουσ' Leo, commate post χθόνα posito  365 πω] πως V  367 σμικροὶ L P: μικροὶ A V B  368 ἂν om. A  ποτε] ποτ' ἂν L P



γῆς ἐκβαλόντι, τήνδ' ἀφῆκεν ἡμέραν
μεῖναί μ', ἐν ᾗ τρεῖς τῶν ἐμῶν ἐχθρῶν νεκροὺς
θήσω, πατέρα τε καὶ κόρην πόσιν τ' ἐμόν.
πολλὰς δ' ἔχουσα θανασίμους αὐτοῖς ὁδούς,
οὐκ οἶδ' ὁποίᾳ πρῶτον ἐγχειρῶ, φίλαι·
πότερον ὑφάψω δῶμα νυμφικὸν πυρί,
ἢ θηκτὸν ὤσω φάσγανον δι' ἥπατος,
σιγῇ δόμους ἐσβᾶσ' ἵν' ἔστρωται λέχος.
ἀλλ' ἕν τί μοι πρόσαντες· εἰ ληφθήσομαι
δόμους ὑπερβαίνουσα καὶ τεχνωμένη,
θανοῦσα θήσω τοῖς ἐμοῖς ἐχθροῖς γέλων.
κράτιστα τὴν εὐθεῖαν, ᾗ πεφύκαμεν
σοφαὶ μάλιστα, φαρμάκοις αὐτοὺς ἑλεῖν.
εἶεν·
καὶ δὴ τεθνᾶσι· τίς με δέξεται πόλις;
τίς γῆν ἄσυλον καὶ δόμους ἐχεγγύους
ξένος παρασχὼν ῥύσεται τοὐμὸν δέμας;
οὐκ ἔστι. μείνασ' οὖν ἔτι σμικρὸν χρόνον,
ἢν μέν τις ἡμῖν πύργος ἀσφαλὴς φανῇ,
δόλῳ μέτειμι τόνδε καὶ σιγῇ φόνον·
ἢν δ' ἐξελαύνῃ ξυμφορά μ' ἀμήχανος,
αὐτὴ ξίφος λαβοῦσα, κεἰ μέλλω θανεῖν,
κτενῶ σφε, τόλμης δ' εἶμι πρὸς τὸ καρτερόν.
οὐ γὰρ μὰ τὴν δέσποιναν ἣν ἐγὼ σέβω
μάλιστα πάντων καὶ ξυνεργὸν εἱλόμην,
Ἑκάτην, μυχοῖς ναίουσαν ἑστίας ἐμῆς,
χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.
πικροὺς δ' ἐγώ σφιν καὶ λυγροὺς θήσω γάμους,

373 ἐφῆκεν Nauck  375 τε om. V  378 ἐφάψω A  380 ὧδε καλῶς κεῖται· Δίδυμος σημειοῦται ὅτι κακῶς οἱ ὑποκριταὶ τάσσουσιν Σ  382 ὑπεσβαίνουσα Housman  384 εὐθεῖαν] σοφίαν A  385 σοφοὶ Tate, Dalzel  ἑλεῖν A V B γρ. *l*: κτανεῖν L P *v*  386 πόλις] δόμος A  395 σέβω μάλιστα πάντων καὶ ξυνεργὸν om. A  399 σφι A

πικρὸν δὲ κῆδος καὶ φυγὰς ἐμὰς χθονός.
ἀλλ' εἶα· φείδου μηδὲν ὧν ἐπίστασαι,
Μήδεια, βουλεύουσα καὶ τεχνωμένη·
ἕρπ' ἐς τὸ δεινόν· νῦν ἀγὼν εὐψυχίας.
ὁρᾷς ἃ πάσχεις· οὐ γέλωτα δεῖ σ' ὀφλεῖν
τοῖς Σισυφείοις τοῖσδ' Ἰάσονος γάμοις,
γεγῶσαν ἐσθλοῦ πατρὸς Ἡλίου τ' ἄπο.
ἐπίστασαι δέ· πρὸς δὲ καὶ πεφύκαμεν
γυναῖκες, ἐς μὲν ἔσθλ' ἀμηχανώταται,
κακῶν δὲ πάντων τέκτονες σοφώταται.

Χο. ἄνω ποταμῶν ἱερῶν χωροῦσι παγαί, [στρ.
καὶ δίκα καὶ πάντα πάλιν στρέφεται.
ἀνδράσι μὲν δόλιαι βουλαί, θεῶν δ'
οὐκέτι πίστις ἄραρε·
τὰν δ' ἐμὰν εὔκλειαν ἔχειν βιοτὰν στρέψουσι φᾶμαι·
ἔρχεται τιμὰ γυναικείῳ γένει·
οὐκέτι δυσκέλαδος φάμα γυναῖκας ἕξει.

μοῦσαι δὲ παλαιγενέων λήξουσ' ἀοιδῶν [ἀντ.
τὰν ἐμὰν ὑμνεῦσαι ἀπιστοσύναν.
οὐ γὰρ ἐν ἁμετέρᾳ γνώμᾳ λύρας
ὤπασε θέσπιν ἀοιδὰν
Φοῖβος, ἁγήτωρ μελέων· ἐπεὶ ἀντάχησ' ἂν ὕμνον

400 ἐμὰς φυγὰς L ἐμὰς L P *b*: ἐμᾶς A V B 404 οὐ] καὶ L ὀφλεῖν Elmsley: ὄφλειν codd. 405 τοῖσδ' Herwerden: τοῖς τ' codd. 408 ἐσμὲν codd., quod aut ἐς μὲν aut ἐσμὲν esse possit: ἐσμὲν Stob. 73. 32 410 παγαί V B: πηγαί rell. V¹ B¹ 411 πάντα πάλιν A V B: πάλιν πάντα L P 414 ἄρηρε A L: corr. A¹ *l* 416 στρέψουσι Elmsley: στρέφουσι codd. et Σ 420 φάμα] φάμαι A V: corr. *v* 421 λήξουσιν codd. ἀοιδῶν V¹ et primitus L: ἀοιδᾶν rell. (ἀοιδὰν VL¹) 422 ὑμνεῦσαι A B L P: ὑμνέουσαι V: ὑμνοῦσαι Eustath. Il. p. 634 εὐπιστοσύναν V: corr. *v* 423 γνώμᾳ] γενεᾷ suprascr. B² 425 ὤπασε] ἔπνευσε B: corr. B² 426 ἁγήτωρ V P ἀντάχησ' ἂν Scaliger: ἀντάχησαν codd. (ἀντάχησα V): ἂν habuit fons scholiorum ὕμνον] ὕμνοις V (corr. *v*): ὕμνοι Eustath. Il. p. 634 et suprascr. B²



ἀρσένων γέννᾳ. μακρὸς δ' αἰὼν ἔχει
πολλὰ μὲν ἁμετέραν ἀνδρῶν τε μοῖραν εἰπεῖν.

σὺ δ' ἐκ μὲν οἴκων πατρίων ἔπλευσας [στρ.
μαινομένᾳ κραδίᾳ, διδύμους ὁρίσασα πόντου
πέτρας· ἐπὶ δὲ ξένᾳ
ναίεις χθονί, τᾶς ἀνάνδρου
κοίτας ὀλέσασα λέκτρον,
τάλαινα, φυγὰς δὲ χώρας
ἄτιμος ἐλαύνῃ.

βέβακε δ' ὅρκων χάρις, οὐδ' ἔτ' αἰδὼς [ἀντ.
Ἑλλάδι τᾷ μεγάλᾳ μένει, αἰθερία δ' ἀνέπτα.
σοὶ δ' οὔτε πατρὸς δόμοι,
δύστανε, μεθορμίσασθαι
μόχθων πάρα, τῶν τε λέκτρων
ἄλλα βασίλεια κρείσσων
δόμοισιν ἐπέστα.

ΙΑΣΩΝ

οὐ νῦν κατεῖδον πρῶτον ἀλλὰ πολλάκις
τραχεῖαν ὀργὴν ὡς ἀμήχανον κακόν.
σοὶ γὰρ παρὸν γῆν τήνδε καὶ δόμους ἔχειν
κούφως φερούσῃ κρεισσόνων βουλεύματα,
λόγων ματαίων οὕνεκ' ἐκπεσῇ χθονός.
κἀμοὶ μὲν οὐδὲν πρᾶγμα· μὴ παύσῃ ποτὲ
λέγουσ' Ἰάσον' ὡς κάκιστός ἐστ' ἀνήρ·
ἃ δ' ἐς τυράννους ἐστί σοι λελεγμένα,

429 γένναι A suprascr. -ᾳ et γρ. γέννα A¹ ὁ μακρὸς A B 431 πατρίων Aldina: πατρώων codd. 433 διδύμους L B: διδύμας A V P 434 ξένᾳ Aldina: ξείνᾳ codd. 439 οὐδ' ἔτ' L: οὐδέ τ' A V B P 440 μένει V B: μίμνει A L P 443 τῶν τε Elmsley: τῶνδε codd.: σῶν τε Porson 444 ἄλλα Heath: ἀλλὰ codd. 445 δόμοισιν A B et sine dubio L ante rasuram: δόμοις V P *l* ἐπέστα L P: ἐπέστη A B: ἀνέστη V 448 τήνδε γῆν A 450 ἐκπεσεῖν A 452 Ἰάσον' Elmsley: Ἰάσων codd.

ἐχθρὰ καθέστηχ', οὓς δέ μ' οὐκ ἐχρῆν κακῶς
δρᾶν, σοὶ χάριν φέρουσα πολεμίους ἔχω.
τοιγάρ με πολλαῖς μακαρίαν Ἑλληνίδων
ἔθηκας ἀντὶ τῶνδε· θαυμαστὸν δέ σε
ἔχω πόσιν καὶ πιστὸν ἡ τάλαιν' ἐγώ,
εἰ φεύξομαί γε γαῖαν ἐκβεβλημένη,
φίλων ἔρημος, σὺν τέκνοις μόνη μόνοις,
καλόν γ' ὄνειδος τῷ νεωστὶ νυμφίῳ,
πτωχοὺς ἀλᾶσθαι παῖδας ἥ τ' ἔσωσά σε.
ὦ Ζεῦ, τί δὴ χρυσοῦ μὲν ὃς κίβδηλος ᾖ
τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ,
ἀνδρῶν δ' ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι;

Χο. δεινή τις ὀργὴ καὶ δυσίατος πέλει,
ὅταν φίλοι φίλοισι συμβάλωσ' ἔριν.

Ια. δεῖ μ', ὡς ἔοικε, μὴ κακὸν φῦναι λέγειν,
ἀλλ' ὥστε ναὸς κεδνὸν οἰακοστρόφον
ἄκροισι λαίφους κρασπέδοις ὑπεκδραμεῖν
τὴν σὴν στόμαργον, ὦ γύναι, γλωσσαλγίαν.
ἐγὼ δ', ἐπειδὴ καὶ λίαν πυργοῖς χάριν,
Κύπριν νομίζω τῆς ἐμῆς ναυκληρίας
σώτειραν εἶναι θεῶν τε κἀνθρώπων μόνην.
σοὶ δ' ἔστι μὲν νοῦς λεπτός, ἀλλ' ἐπίφθονος
λόγος διελθεῖν ὡς Ἔρως σ' ἠνάγκασε

507 οὓς] οἷς A 509 Ἑλληνίδων L P *v* et Alexander ap. Walz. Rhetores Gr. viii. 451 : ἀν' Ἑλλάδα B : Ἑλλάδα Herodianus ib. p. 590, Zonaeus ib. p. 679 : καθ' Ἑλλάδα A V 511 πιστὸν] σεμνὸν Alexander 512 γε Haun., Herodian. et Zonae. (ut quidem editi sunt, sed γε om. multi codices Herodiani) : τε A V B : δὲ L P γαίας Zonaeus 513 φίλων] δόμων Herodian. et Zonae. μόνοις μόνη Zonae. et codices aliquot Herodiani : μόνη μόνοις (μενοις) habuit Π[3] 514 τῷ . . . νυμφίῳ B : ]ω in fine versus Π[3] : τῶν . . . νυμφίω P : τῶν . . . νυμφίων A V L 516 ᾗ codd. Π[3] : ἦν Clem. Alex. Strom. vi. p. 265, Stob. 2. 16 518 inter χρὴ et χρῆν fluctuant L[1] A[1] 523 νηὸς L P suprascr. V[1] 530 σ' om. L P : corr. *l p*



τόξοις ἀφύκτοις τοὐμὸν ἐκσῶσαι δέμας.
ἀλλ' οὐκ ἀκριβῶς αὐτὸ θήσομαι λίαν·
ὅπῃ γὰρ οὖν ὤνησας, οὐ κακῶς ἔχει.
μείζω γε μέντοι τῆς ἐμῆς σωτηρίας
εἴληφας ἢ δέδωκας, ὡς ἐγὼ φράσω.
πρῶτον μὲν Ἑλλάδ' ἀντὶ βαρβάρου χθονὸς
γαῖαν κατοικεῖς καὶ δίκην ἐπίστασαι
νόμοις τε χρῆσθαι μὴ πρὸς ἰσχύος χάριν·
πάντες δέ σ' ᾔσθοντ' οὖσαν Ἕλληνες σοφὴν
καὶ δόξαν ἔσχες· εἰ δὲ γῆς ἐπ' ἐσχάτοις
ὅροισιν ᾤκεις, οὐκ ἂν ἦν λόγος σέθεν.
εἴη δ' ἔμοιγε μήτε χρυσὸς ἐν δόμοις
μήτ' Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος,
εἰ μὴ 'πίσημος ἡ τύχη γένοιτό μοι.
τοσαῦτα μέν σοι τῶν ἐμῶν πόνων πέρι
ἔλεξ'· ἅμιλλαν γὰρ σὺ προὔθηκας λόγων.
ἃ δ' ἐς γάμους μοι βασιλικοὺς ὠνείδισας,
ἐν τῷδε δείξω πρῶτα μὲν σοφὸς γεγώς,
ἔπειτα σώφρων, εἶτα σοὶ μέγας φίλος
καὶ παισὶ τοῖς ἐμοῖσιν· ἀλλ' ἔχ' ἥσυχος.
ἐπεὶ μετέστην δεῦρ' Ἰωλκίας χθονὸς
πολλὰς ἐφέλκων συμφορὰς ἀμηχάνους,
τί τοῦδ' ἂν εὕρημ' ηὗρον εὐτυχέστερον
ἢ παῖδα γῆμαι βασιλέως φυγὰς γεγώς;
οὐχ, ᾗ σὺ κνίζῃ, σὸν μὲν ἐχθαίρων λέχος,
καινῆς δὲ νύμφης ἱμέρῳ πεπληγμένος,
οὐδ' εἰς ἅμιλλαν πολύτεκνον σπουδὴν ἔχων·
ἅλις γὰρ οἱ γεγῶτες οὐδὲ μέμφομαι·

531 τόξοις ἀφύκτοις A V B Σ B : πόνων ἀφύκτων L P Σ 532 αὐτὰ L P 533 οὖν om. A P : add *p* 538 χάριν] γρ. θράσει Σ 541 λόγο*ς V 545 μέν σοι L P : μέντοι A V B 549 φίλοις V : corr. *v* 550 ἡσύχως A V 551 μετέστη V : corr. *v* 552 ἀφέλκων A 553 τι τουτ' α[ν Π[3] : τί τοῦτ' εὕρημ' V : corr. *v* ἀτυχέστερον V : corr. *v* 554 γεγὼς φυγάς V 555 ουχ ως c[υ Π[3] ἐχθραίνων B

ἀλλ' ὡς, τὸ μὲν μέγιστον, οἰκοῖμεν καλῶς
καὶ μὴ σπανιζοίμεσθα, γιγνώσκων ὅτι
πένητα φεύγει πᾶς τις ἐκποδὼν φίλος,
παῖδας δὲ θρέψαιμ' ἀξίως δόμων ἐμῶν
σπείρας τ' ἀδελφοὺς τοῖσιν ἐκ σέθεν τέκνοις
ἐς ταὐτὸ θείην, καὶ ξυναρτήσας γένος
εὐδαιμονοῖμεν. σοί τε γὰρ παίδων τί δεῖ;
ἐμοί τε λύει τοῖσι μέλλουσιν τέκνοις
τὰ ζῶντ' ὀνῆσαι. μῶν βεβούλευμαι κακῶς;
οὐδ' ἂν σὺ φαίης, εἴ σε μὴ κνίζοι λέχος.
ἀλλ' ἐς τοσοῦτον ἥκεθ' ὥστ' ὀρθουμένης
εὐνῆς γυναῖκες πάντ' ἔχειν νομίζετε,
ἢν δ' αὖ γένηται ξυμφορά τις ἐς λέχος,
τὰ λῷστα καὶ κάλλιστα πολεμιώτατα
τίθεσθε. χρῆν γὰρ ἄλλοθέν ποθεν βροτοὺς
παῖδας τεκνοῦσθαι, θῆλυ δ' οὐκ εἶναι γένος·
χοὕτως ἂν οὐκ ἦν οὐδὲν ἀνθρώποις κακόν.
Χο. Ἰᾶσον, εὖ μὲν τούσδ' ἐκόσμησας λόγους·
ὅμως δ' ἔμοιγε, κεἰ παρὰ γνώμην ἐρῶ,
δοκεῖς προδοὺς σὴν ἄλοχον οὐ δίκαια δρᾶν.
Μη. ἦ πολλὰ πολλοῖς εἰμι διάφορος βροτῶν.
ἐμοὶ γὰρ ὅστις ἄδικος ὢν σοφὸς λέγειν
πέφυκε, πλείστην ζημίαν ὀφλισκάνει·
γλώσσῃ γὰρ αὐχῶν τἄδικ' εὖ περιστελεῖν,
τολμᾷ πανουργεῖν· ἔστι δ' οὐκ ἄγαν σοφός.
ὡς καὶ σὺ μή νυν εἰς ἔμ' εὐσχήμων γένῃ
λέγειν τε δεινός. ἓν γὰρ ἐκτενεῖ σ' ἔπος·

560 σπανιζόμεσθα V : σπανιζοίμεθα L P  561 φίλον Driver  562 δὲ A V B : τε L P  565 εὐδαιμονοῖμεν Elmsley : εὐδαιμονοίην codd., fortasse recte  568 σε] σοι A  κνίζει L P  571 δ' αὖ] δὲ A : δ' αὖ p in rasura  573 χρὴ A V  γὰρ] ἄρ' Porson  575 χοὕτως A V B : οὕτως δ' L P : οὕτως Elmsley  577 ἐρῶ A V B : λέγω L P  582 τἄδικα δ' εὖ A  584 punctum post σύ in L  ὣς Brunck  νυν Elmsley : νῦν codd.  585 ἐκτενεῖ σ' A L P γρ. Σ B (cf. Eustath. Il. p. 672) : κτενεῖ σ' V : σε κτενεῖ B : οὖν κτενεῖ σ' p



χρῆν σ', εἴπερ ἦσθα μὴ κακός, πείσαντά με
γαμεῖν γάμον τόνδ', ἀλλὰ μὴ σιγῇ φίλων.
Ια. καλῶς γ' ἄν, οἶμαι, τῷδ' ὑπηρέτεις λόγῳ,
εἴ σοι γάμον κατεῖπον, ἥτις οὐδὲ νῦν
τολμᾷς μεθεῖναι καρδίας μέγαν χόλον.
Μη. οὐ τοῦτό σ' εἶχεν, ἀλλὰ βάρβαρον λέχος
πρὸς γῆρας οὐκ εὔδοξον ἐξέβαινέ σοι.
Ια. εὖ νυν τόδ' ἴσθι, μὴ γυναικὸς οὕνεκα
γῆμαί με λέκτρα βασιλέων ἃ νῦν ἔχω,
ἀλλ', ὥσπερ εἶπον καὶ πάρος, σῶσαι θέλων
σέ, καὶ τέκνοισι τοῖς ἐμοῖς ὁμοσπόρους
φῦσαι τυράννους παῖδας, ἔρυμα δώμασι.
Μη. μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος
μηδ' ὄλβος ὅστις τὴν ἐμὴν κνίζοι φρένα.
Ια. οἶσθ' ὡς μέτευξῃ, καὶ σοφωτέρα φανῇ;
τὰ χρηστὰ μή σοι λυπρὰ φαίνεσθαί ποτε,
μηδ' εὐτυχοῦσα δυστυχὴς εἶναι δοκεῖν.
Μη. ὕβριζ', ἐπειδὴ σοὶ μὲν ἔστ' ἀποστροφή,
ἐγὼ δ' ἔρημος τήνδε φευξοῦμαι χθόνα.
Ια. αὐτὴ τάδ' εἵλου· μηδέν' ἄλλον αἰτιῶ.
Μη. τί δρῶσα; μῶν γαμοῦσα καὶ προδοῦσά σε;
Ια. ἀρὰς τυράννοις ἀνοσίους ἀρωμένη.
Μη. καὶ σοῖς ἀραία γ' οὖσα τυγχάνω δόμοις.
Ια. ὡς οὐ κρινοῦμαι τῶνδέ σοι τὰ πλείονα.
ἀλλ', εἴ τι βούλῃ παισὶν ἢ σαυτῆς φυγῇ
προσωφέλημα χρημάτων ἐμῶν λαβεῖν,
λέγ'· ὡς ἕτοιμος ἀφθόνῳ δοῦναι χερὶ

586 πείσαντ' ἐμὲ Porson  588 οἶμαι Nauck : οὖν μοι L P : οὖν σὺ A V : οὖν (et ἐξυπηρετεῖς) B  593 νῦν codd. : corr. Prinz  594 βασιλέων Elmsley : βασιλέως codd.  599 κνίζοι B P cum Stob. 93. 5 : κνίζει A L V (de A non certum)  600 μέτευξαι Elmsley  601, 602 φαίνεσθαί et δοκεῖν Reiske : φαινέσθω et δόκει codd.  604 φεύξομαι D  610 τι L P v (et fort. B) : τε A V B[1] σαυτῆς φυγῇ V B P : σαυτῇ φυγῇ A : σαυτῇ φυγῆς L fortasse recte

προσβάλοι δεινὰ Κύπρις, ἀπτολέμους δ' εὐνὰς σε-
 βίζουσ'
ὀξύφρων κρίνοι λέχη γυναικῶν.

ὦ πατρίς, ὦ δώματα, μὴ [στρ.
 δῆτ' ἄπολις γενοίμαν
τὸν ἀμηχανίας ἔχουσα
δυσπέρατον αἰῶν',
οἰκρότατον ἀχέων.
θανάτῳ θανάτῳ πάρος δαμείην
ἁμέραν τάνδ' ἐξανύσα-
σα· μόχθων δ' οὐκ ἄλλος ὕπερ-
θεν ἢ γᾶς πατρίας στέρεσθαι.

εἴδομεν, οὐκ ἐξ ἑτέρων [ἀντ.
 μῦθον ἔχω φράσασθαι·
σὲ γὰρ οὐ πόλις, οὐ φίλων τις
ᾤκτισεν παθοῦσαν
δεινότατα παθέων.
ἀχάριστος ὄλοιθ', ὅτῳ πάρεστιν
μὴ φίλους τιμᾶν καθαρὰν
ἀνοίξαντα κλῆδα φρενῶν·
ἐμοὶ μὲν φίλος οὔποτ' ἔσται.

ΑΙΓΕΥΣ

 Μήδεια, χαῖρε· τοῦδε γὰρ προοίμιον

640 προσβάλοι V B : προσβάλλοι L : προσβάλοιμι A P ἀπτολέμους A L P B[1] v : ἀπολέμους V B l δ' om. L P σεβίζουσ' L : σεβίζουσα rell. 642 κρίνει L (et suprascr. P, sed delevit) 643 δώματα Nauck : δώμα** L : δῶμα rell. 645 ἀμαχανίας Elmsley 647 οἰκτρότατον Musgrave : οἰκτροτάτων codd. Cf. v. 658 648 θανάτῳ alterum om. L 649 τάνδ' ἁμέραν L : corr. l 650 δ' οὐκ] οὐκ B : τίς Elmsley 651 πατρῴας σέβεσθαι V 654 μῦθον Nauck : μύθων codd. ἔχω] ἔχομεν l in rasura 655 σὲ γὰρ οὐ φίλων τις οὐ πόλις L P 657 ᾤκτισεν Musgrave : ᾤκτειρεν L P : ᾤκτειρε A V B 658 δεινότατον Elmsley (et suprascr. l). Cf. v. 647 659 πάρεσται l : παρέστῃ Badham 660 καθαρᾶν Badham : καθαρὰν codd. ἀνοίξαντι L P B[2]

Αι. τί χρῆμα δράσας; φράζε μοι σαφέστερον.
Μη. γυναῖκ' ἐφ' ἡμῖν δεσπότιν δόμων ἔχει.
Αι. οὔ που τετόλμηκ' ἔργον αἴσχιστον τόδε;
Μη. σάφ' ἴσθ'· ἄτιμοι δ' ἐσμὲν οἱ πρὸ τοῦ φίλοι.
Αι. πότερον ἐρασθεὶς ἢ σὸν ἐχθαίρων λέχος;
Μη. μέγαν γ' ἔρωτα· πιστὸς οὐκ ἔφυ φίλοις.
Αι. ἴτω νυν, εἴπερ, ὡς λέγεις, ἐστὶν κακός.
Μη. ἀνδρῶν τυράννων κῆδος ἠράσθη λαβεῖν.
Αι. δίδωσι δ' αὐτῷ τίς; πέραινέ μοι λόγον.
Μη. Κρέων, ὃς ἄρχει τῆσδε γῆς Κορινθίας.
Αι. συγγνωστὰ μέν τἄρ' ἦν σε λυπεῖσθαι, γύναι.
Μη. ὄλωλα· καὶ πρός γ' ἐξελαύνομαι χθονός.
Αι. πρὸς τοῦ; τόδ' ἄλλο καινὸν αὖ λέγεις κακόν.
Μη. Κρέων μ' ἐλαύνει φυγάδα γῆς Κορινθίας.
Αι. ἐᾷ δ' Ἰάσων; οὐδὲ ταῦτ' ἐπῄνεσα.
Μη. λόγῳ μὲν οὐχί, καρτερεῖν δὲ βούλεται.
ἀλλ' ἄντομαί σε τῆσδε πρὸς γενειάδος
γονάτων τε τῶν σῶν ἱκεσία τε γίγνομαι,
οἴκτιρον οἴκτιρόν με τὴν δυσδαίμονα
καὶ μή μ' ἔρημον ἐκπεσοῦσαν εἰσίδῃς,
δέξαι δὲ χώρᾳ καὶ δόμοις ἐφέστιον.
οὕτως ἔρως σοὶ πρὸς θεῶν τελεσφόρος
γένοιτο παίδων, καὐτὸς ὄλβιος θάνοις.
εὕρημα δ' οὐκ οἶσθ' οἷον ηὕρηκας τόδε·
παύσω δέ σ' ὄντ' ἄπαιδα καὶ παίδων γονὰς
σπεῖραί σε θήσω· τοιάδ' οἶδα φάρμακα.
Αι. πολλῶν ἕκατι τήνδε σοι δοῦναι χάριν,

693 σεσημείωται ὁ στίχος ὅτι καὶ ἐν Πελιάσιν ἐστίν Σ 695 οὔ που Witzschel: ἥ που codd. (ἦ A) 696 ἴσθ'] οἶσθ' A 698 πιστὸς δ' V 699 νυν L: νῦν rell. 703 μέν τἄρ' Hermann: μὲν γὰρ L P: γὰρ A V B: ἄγαν ἄρ' Wecklein σε λελυπῆσθαι A 705 αὖ λέγεις] ἀγγέλλεις A 708 καρδίᾳ δὲ βούλεται γρ. Σ et suprascr. v. Σ alius interpungit λόγῳ μέν, οὐχὶ καρτερεῖν δὲ βούλεται: δ' οὐ βούλεται Porson 710 τῶν om. V B P τε (post ἱκεσία) om. P eras. in B 714, 715 habet Π[4] 715 θάνοις L[1] P: θάνεις L: θάνῃς A V B

*τὸ σόν τ' ἄραρε μᾶλλον· ἐξηγοῦ θεούς.*
Μη. *ὄμνυ πέδον Γῆς, πατέρα θ' Ἥλιον πατρὸς*
*τοὐμοῦ, θεῶν τε συντιθεὶς ἅπαν γένος.*
Αι. *τί χρῆμα δράσειν ἢ τί μὴ δράσειν; λέγε.*
Μη. *μήτ' αὐτὸς ἐκ γῆς σῆς ἔμ' ἐκβαλεῖν ποτε,*
*μήτ' ἄλλος ἤν τις τῶν ἐμῶν ἐχθρῶν ἄγειν*
*χρῄζῃ, μεθήσειν ζῶν ἑκουσίῳ τρόπῳ.*
Αι. *ὄμνυμι Γαῖαν φῶς τε λαμπρὸν Ἡλίου*
*θεούς τε πάντας ἐμμενεῖν ἅ σου κλύω.*
Μη. *ἀρκεῖ· τί δ' ὅρκῳ τῷδε μὴ 'μμένων πάθοις;*
Αι. *ἃ τοῖσι δυσσεβοῦσι γίγνεται βροτῶν.*
Μη. *χαίρων πορεύου· πάντα γὰρ καλῶς ἔχει,*
*κἀγὼ πόλιν σὴν ὡς τάχιστ' ἀφίξομαι,*
*πράξασ' ἃ μέλλω καὶ τυχοῦσ' ἃ βούλομαι.*
Χο. *ἀλλά σ' ὁ Μαίας πομπαῖος ἄναξ*
*πελάσειε δόμοις, ὧν τ' ἐπίνοιαν*
*σπεύδεις κατέχων πράξειας, ἐπεὶ*
*γενναῖος ἀνήρ,*
*Αἰγεῦ, παρ' ἐμοὶ δεδόκησαι.*
Μη. *ὦ Ζεῦ Δίκη τε Ζηνὸς Ἡλίου τε φῶς,*
*νῦν καλλίνικοι τῶν ἐμῶν ἐχθρῶν, φίλαι,*
*γενησόμεσθα κεἰς ὁδὸν βεβήκαμεν·*
*νῦν δ' ἐλπὶς ἐχθροὺς τοὺς ἐμοὺς τείσειν δίκην.*
*οὗτος γὰρ ἁνὴρ ᾗ μάλιστ' ἐκάμνομεν*
*λιμὴν πέφανται τῶν ἐμῶν βουλευμάτων·*

745 *τ' ἄραρε* A V B : *δ' ἄρηρε* L P  746 *ὄμνυμι* A cum Eustath. Il. p. 436  *γρ. ἡλίου θ' ἁγνὸν σέβας* Σ B et in margine *l*  748 *δράσ** A, *ειν* suprascr. A¹ : *μὴ δρᾶσαι* P suprascr. *υ*  751 *ζῶν* P et sine dubio L : *γῆς γρ. ζῶν l* : *γῆς* A V B  752 *γαῖ*** A, *αν* suprascr. A¹  *φῶς τε λαμπρὸν ἡλίου* scripsi : *λαμπρὸν ἡλίου τε φῶς* A L P : *λαμπρόν θ' ἡλίου φάος* V D : *λαμπρὸν ἡλίου φάος* B : *ἡλίου θ' ἁγνὸν σέβας* Porson ex schol. ad v. 746  753 *ἐμμένειν* codd., corr. Schaefer  *οἷς σου κλύω* Schaefer  755 *βροτοῖς* L P  758 *τυχοῦσ' ὧν* A P  759 Χο.] *ταῦτα ἔνιοι τῷ χορῷ ἔνιοι τῇ Μηδείᾳ προσνέμουσιν,* Σ  768 *ἀνὴρ* codd. : corr. Porson  *μάλιστ* κάμνομεν* A : corr. A²  769 *πέφασται* V

ἐκ τοῦδ' ἀναψόμεσθα πρυμνήτην κάλων,
μολόντες ἄστυ καὶ πόλισμα Παλλάδος.
ἤδη δὲ πάντα τἀμά σοι βουλεύματα
λέξω· δέχου δὲ μὴ πρὸς ἡδονὴν λόγους.
πέμψασ' ἐμῶν τιν' οἰκετῶν Ἰάσονα
ἐς ὄψιν ἐλθεῖν τὴν ἐμὴν αἰτήσομαι·
μολόντι δ' αὐτῷ μαλθακοὺς λέξω λόγους,
†ὡς καὶ δοκεῖ μοι ταῦτα, καὶ καλῶς ἔχει†
γάμους τυράννων οὓς προδοὺς ἡμᾶς ἔχει,
καὶ ξύμφορ' εἶναι καὶ καλῶς ἐγνωσμένα.
παῖδας δὲ μεῖναι τοὺς ἐμοὺς αἰτήσομαι,
οὐχ ὡς λιποῦσ' ἂν πολεμίας ἐπὶ χθονὸς
ἐχθροῖσι παῖδας τοὺς ἐμοὺς καθυβρίσαι,
ἀλλ' ὡς δόλοισι παῖδα βασιλέως κτάνω.
πέμψω γὰρ αὐτοὺς δῶρ' ἔχοντας ἐν χεροῖν,
[νύμφῃ φέροντας, τήνδε μὴ φυγεῖν χθόνα,]
λεπτόν τε πέπλον καὶ πλόκον χρυσήλατον·
κἄνπερ λαβοῦσα κόσμον ἀμφιθῇ χροΐ,
κακῶς ὀλεῖται, πᾶς θ' ὃς ἂν θίγῃ κόρης·
τοιοῖσδε χρίσω φαρμάκοις δωρήματα.
ἐνταῦθα μέντοι τόνδ' ἀπαλλάσσω λόγον·
ᾤμωξα δ' οἷον ἔργον ἔστ' ἐργαστέον
τοὐντεῦθεν ἡμῖν· τέκνα γὰρ κατακτενῶ
τἄμ'· οὔτις ἔστιν ὅστις ἐξαιρήσεται·
δόμον τε πάντα συγχέασ' Ἰάσονος
ἔξειμι γαίας, φιλτάτων παίδων φόνον

774 ἐμὸν A  777 ἔχει] ἔχειν Hervagiana secunda. Fortasse ὧς καὶ δοκεῖν μοι ταῦτα, καὶ καλῶς ἔχειν | γάμους κτλ. ταὐτὰ Barnes  779 ἐγνωσμένα A V B: εἰργασμένα L P  780 παῖδας] πόδας suprascr. A[1]  781 λιποῦσ' ἂν Elmsley: λιποῦσα codd.  782 del. Brunck: ἐχθροῖς παρασχῶ von Arnim  785 del. Valckenaer γρ. δῆθεν μὴ Σ  φυγεῖν A L P: φεύγειν V B  786 πλόκον] στέφος A. Cf. v. 949  789 τοιοῖσδ' ἔχρισα Wieseler  790 post h. v. unius versus spatium vacuum in A. Cf. v. 1027  792 τοὐντεῦθεν] τοὐνθένδ' ἐν V, γρ. τεῦ suprascr. *v*  κατακτενῶ A P: κατακτανῶ V B L



φεύγουσα καὶ τλᾶσ' ἔργον ἀνοσιώτατον.
οὐ γὰρ γελᾶσθαι τλητὸν ἐξ ἐχθρῶν, φίλαι.
ἴτω· τί μοι ζῆν κέρδος; οὔτε μοι πατρὶς
οὔτ' οἶκος ἔστιν οὔτ' ἀποστροφὴ κακῶν.
ἡμάρτανον τόθ' ἡνίκ' ἐξελίμπανον
δόμους πατρῴους, ἀνδρὸς Ἕλληνος λόγοις
πεισθεῖσ', ὃς ἡμῖν σὺν θεῷ τείσει δίκην.
οὔτ' ἐξ ἐμοῦ γὰρ παῖδας ὄψεταί ποτε
ζῶντας τὸ λοιπὸν οὔτε τῆς νεοζύγου
νύμφης τεκνώσει παῖδ', ἐπεὶ κακὴν κακῶς
θανεῖν σφ' ἀνάγκη τοῖς ἐμοῖσι φαρμάκοις.
μηδείς με φαύλην κἀσθενῆ νομιζέτω
μηδ' ἡσυχαίαν, ἀλλὰ θατέρου τρόπου,
βαρεῖαν ἐχθροῖς καὶ φίλοισιν εὐμενῆ·
τῶν γὰρ τοιούτων εὐκλεέστατος βίος.

Χο. ἐπείπερ ἡμῖν τόνδ' ἐκοίνωσας λόγον,
σέ τ' ὠφελεῖν θέλουσα, καὶ νόμοις βροτῶν
ξυλλαμβάνουσα, δρᾶν σ' ἀπεννέπω τάδε.
Μη. οὐκ ἔστιν ἄλλως· σοὶ δὲ συγγνώμη λέγειν
τάδ' ἐστί, μὴ πάσχουσαν, ὡς ἐγώ, κακῶς.
Χο. ἀλλὰ κτανεῖν σὸν σπέρμα τολμήσεις, γύναι;
Μη. οὕτω γὰρ ἂν μάλιστα δηχθείη πόσις.
Χο. σὺ δ' ἂν γένοιό γ' ἀθλιωτάτη γυνή.
Μη. ἴτω· περισσοὶ πάντες οὑν μέσῳ λόγοι.
ἀλλ' εἶα χώρει καὶ κόμιζ' Ἰάσονα·
ἐς πάντα γὰρ δὴ σοὶ τὰ πιστὰ χρώμεθα.
λέξῃς δὲ μηδὲν τῶν ἐμοὶ δεδογμένων,

798 ζῆν ἔτι κέρδος A V B. Cf. v. 145  πατρὶς] γρ. πατὴρ Σ B  799 γρ. ἀπαλλαγὴ Σ B et suprascr. *v*  802 τείσει] δώσει L P  805 κακῶς κακὴν L P V  808 τόπου L  811 ἐκοινώσω A  814 σοὶ] σὺ V: σὲ suprascr. A[1] *b*  συγγνώμην A  816 σὸν σπέρμα L P: σὼ παῖδε A V B[2] (sed σὼ ex σου correxit A), fortasse recte: σὸν παῖδα B  818 γένοιό γ'] γένοι' V  γύναι L *v*  820 'Nutricem, nisi fallor, adloquitur', Murray  822 λέξῃς Elmsley: λέξεις codd.

Harmony — mother of the Muses



εἴπερ φρονεῖς εὖ δεσπόταις γυνή τ' ἔφυς.

Χο. Ἐρεχθεΐδαι τὸ παλαιὸν ὄλβιοι [στρ.
καὶ θεῶν παῖδες μακάρων, ἱερᾶς
χώρας ἀπορθήτου τ' ἄπο, φερβόμενοι
κλεινοτάταν σοφίαν, αἰεὶ διὰ λαμπροτάτου
βαίνοντες ἁβρῶς αἰθέρος, ἔνθα ποθ' ἁγνὰς
ἐννέα Πιερίδας Μούσας λέγουσι
ξανθὰν Ἁρμονίαν φυτεῦσαι·

τοῦ καλλινάου τ' ἐπὶ Κηφισοῦ ῥοαῖς [ἀντ.
τὰν Κύπριν κλῄζουσιν ἀφυσσαμέναν
χώραν καταπνεῦσαι μετρίας ἀνέμων
ἡδυπνόους αὔρας· αἰεὶ δ' ἐπιβαλλομέναν
χαίταισιν εὐώδη ῥοδέων πλόκον ἀνθέων
τᾷ Σοφίᾳ παρέδρους πέμπειν Ἔρωτας,
παντοίας ἀρετᾶς ξυνεργούς.

πῶς οὖν ἱερῶν ποταμῶν [στρ.
ἢ πόλις ἢ φίλων
πόμπιμός σε χώρα
τὰν παιδολέτειραν ἕξει,
τὰν οὐχ ὁσίαν μετ' ἄλλων;
σκέψαι τεκέων πλαγάν,
σκέψαι φόνον οἷον αἴρῃ.
μή, πρὸς γονάτων σε πάντῃ
πάντως ἱκετεύομεν,
τέκνα φονεύσῃς.

824 ἐρεχθεῖδαι codd. 826 τ' ἄπο, φερβόμενοι $B^2$, et sic intellexit Σ: τ' ἀποφερβόμενοι codd. 828 αἰεὶ *l* P : ἀεὶ A V B L 831 λέγουσι Μούσας *l* P 835 ἐπὶ L P *v* : ἀπὸ A V B ῥοαῖς] ῥοὰς suprascr. alia manus in A : ῥοῶν suprascr. $B^2$ 840 ἡδυπνόους αὔρας L P : αὔρας ἡδυπνόους *v* : αὔρας (omisso ἡδυπνόους) A V B 846 ποταμων ἱερ[ων $\Pi^5$. Cf. v. 410 847 ἢ φίλων ἢ πόλις A V B. Cf. v. 655. εἶ πέλας ; ἢ φίλων Murray 849 sq. ἕξει τὰν om. $\Pi^5$ 852 αἴρῃ Emsley : αἱρῇ codd. 853 sq. πάντῃ πάντως Herwerden : πάντες πάντως L P, fort. recte ; cf. Hipp. 1120, Ino fr. 413, 4 : πάντως πάντες A V B 855 μὴ φονεύσῃς codd. : μὴ del. Brunck



πόθεν θράσος ἢ φρενὸς ἢ [ἀντ.
χειρὶ †τέκνων σέθεν†
καρδίᾳ τε λήψῃ
δεινὰν προσάγουσα τόλμαν;
πῶς δ' ὄμματα προσβαλοῦσα
τέκνοις ἄδακρυν μοῖραν
σχήσεις φόνου; οὐ δυνάσῃ,
παίδων ἱκετᾶν πιτνόντων,
τέγξαι χέρα φοινίαν
τλάμονι θυμῷ.

Ια. ἥκω κελευσθείς· καὶ γὰρ οὖσα δυσμενὴς
οὔ τἂν ἁμάρτοις τοῦδέ γ', ἀλλ' ἀκούσομαι
τί χρῆμα βούλῃ καινὸν ἐξ ἐμοῦ, γύναι.

Μη. Ἰᾶσον, αἰτοῦμαί σε τῶν εἰρημένων
συγγνώμον' εἶναι· τὰς δ' ἐμὰς ὀργὰς φέρειν
εἰκός σ', ἐπεὶ νῷν πόλλ' ὑπείργασται φίλα.
ἐγὼ δ' ἐμαυτῇ διὰ λόγων ἀφικόμην
κἀλοιδόρησα· Σχετλία, τί μαίνομαι
καὶ δυσμεναίνω τοῖσι βουλεύουσιν εὖ,
ἐχθρὰ δὲ γαίας κοιράνοις καθίσταμαι
πόσει θ', ὃς ἡμῖν δρᾷ τὰ συμφορώτατα,
γήμας τύραννον καὶ κασιγνήτους τέκνοις
ἐμοῖς φυτεύων; οὐκ ἀπαλλαχθήσομαι
θυμοῦ; τί πάσχω, θεῶν ποριζόντων καλῶς;
οὐκ εἰσὶ μέν μοι παῖδες, οἶδα δὲ χθόνα

857 nondum sanatus : fortasse τεκνοκτόνον pro τέκνων σέθεν (deficit $\Pi^5$ post πόθεν, incipit iterum προσά]γουσα) 860 ὄμματα A L P *v* : ὄμμα $A^1$ V B προσλαβοῦσα V, corr. *v* : προβαλοῦσα L P, corr. *l* 862 φόνου $\Pi^5$ A V et Σ : φόνον L P B et fortasse Σ alter οὐ om. $\Pi^5$ δυνήσῃ L P B *v* 864 χέρα *l* : χεῖρα codd. φοινίαν *l* : φοίνιον L : φόνιον P *v* : φονίαν A V B (nihil ex $\Pi^5$) 865 τλάμονι L P : τλήμονι A V B : τλαμο]νι τε θυμωι $\Pi^5$ (fortasse 855 τεκνα μη φονευσῃς, hic (φοινίῳ) τλαμονι τε θυμῳ habuit $\Pi^5$) 867 οὔ τἂν Porson : οὐκ ἂν codd. τοῦδέ γ' L P : τοῦδέ τ' A B : τοῦδ' ἔτ' V 871 εἰκός σ' A V B : εἰκός γ' L P

φεύγοντας ἡμᾶς καὶ σπανίζοντας φίλων;
ταῦτ' ἐννοήσασ' ᾐσθόμην ἀβουλίαν
πολλὴν ἔχουσα καὶ μάτην θυμουμένη.
νῦν οὖν ἐπαινῶ, σωφρονεῖν τ' ἐμοὶ δοκεῖς
κῆδος τόδ' ἡμῖν προσλαβών, ἐγὼ δ' ἄφρων,
ᾗ χρῆν μετεῖναι τῶνδε τῶν βουλευμάτων,
καὶ ξυμπεραίνειν, καὶ παρεστάναι λέχει
νύμφην τε κηδεύουσαν ἥδεσθαι σέθεν.
ἀλλ' ἐσμὲν οἷόν ἐσμεν, οὐκ ἐρῶ κακόν,
γυναῖκες· οὔκουν χρῆν σ' ὁμοιοῦσθαι κακοῖς,
οὐδ' ἀντιτείνειν νήπι' ἀντὶ νηπίων.
παριέμεσθα, καί φαμεν κακῶς φρονεῖν
τότ', ἀλλ' ἄμεινον νῦν βεβούλευμαι τάδε.
ὦ τέκνα τέκνα, δεῦρο, λείπετε στέγας,
ἐξέλθετ', ἀσπάσασθε καὶ προσείπατε
πατέρα μεθ' ἡμῶν, καὶ διαλλάχθηθ' ἅμα
τῆς πρόσθεν ἔχθρας ἐς φίλους μητρὸς μέτα·
σπονδαὶ γὰρ ἡμῖν καὶ μεθέστηκεν χόλος.
λάβεσθε χειρὸς δεξιᾶς· οἴμοι, κακῶν
ὡς ἐννοοῦμαι δή τι τῶν κεκρυμμένων.
ἆρ', ὦ τέκν', οὕτω καὶ πολὺν ζῶντες χρόνον
φίλην ὀρέξετ' ὠλένην; τάλαιν' ἐγώ,
ὡς ἀρτίδακρύς εἰμι καὶ φόβου πλέα.
χρόνῳ δὲ νεῖκος πατρὸς ἐξαιρουμένη
ὄψιν τέρειναν τήνδ' ἔπλησα δακρύων.

Χο. κἀμοὶ κατ' ὄσσων χλωρὸν ὡρμήθη δάκρυ·
καὶ μὴ προβαίη μεῖζον ἢ τὸ νῦν κακόν.

882 ἐννοήσασ' A V B : ἐννοηθεῖσ' L P et Chr. Pat. 806  884 τέ μοι Lascaris  886 ᾗ] ἧ in ἧν corr. V[1] : γρ. ἧ v  887 ξυμπεραίνειν A V B P et Σ B : ξυγγαμεῖν σοι L  890 χρῆν A B : ἐχρῆν V : χρῆ P : χρὴ L  σ' ἐξομοιοῦσθαι V  893 τάδε L P et suprascr. v : τόδε A V B  894 δεῦρο Elmsley : δεῦτε codd.  905 τέρειναν Barnes : τερεινὴν codd. (τερείνην A)  906 χλωρὸν] θερμὸν Chr. Pat. 479 : γρ. θερμὸν Σ B  907 μεῖζον] μᾶσσον Cobet  τὸ νῦν] τὰ νῦν Elmsley

τὰ μὲν λέλεκται, τῶν δ' ἐγὼ μνησθήσομαι.
ἐπεὶ τυράννοις γῆς μ' ἀποστεῖλαι δοκεῖ·
κἀμοὶ τάδ' ἐστὶ λῷστα, γιγνώσκω καλῶς,
μήτ' ἐμποδὼν σοὶ μήτε κοιράνοις χθονὸς
ναίειν· δοκῶ γὰρ δυσμενὴς εἶναι δόμοις·
ἡμεῖς μὲν ἐκ γῆς τῆσδ' ἀπαίρομεν φυγῇ,
παῖδες δ' ὅπως ἂν ἐκτραφῶσι σῇ χερί,
αἰτοῦ Κρέοντα τήνδε μὴ φεύγειν χθόνα.
Ια. οὐκ οἶδ' ἂν εἰ πείσαιμι, πειρᾶσθαι δὲ χρή.
Μη. σὺ δ' ἀλλὰ σὴν κέλευσον αἰτεῖσθαι πατρὸς
γυναῖκα παῖδας τήνδε μὴ φεύγειν χθόνα.
Ια. μάλιστα, καὶ πείσειν γε δοξάζω σφ' ἐγώ.
Μη. εἴπερ γυναικῶν ἐστι τῶν ἄλλων μία.
συλλήψομαι δὲ τοῦδέ σοι κἀγὼ πόνου·
πέμψω γὰρ αὐτῇ δῶρ' ἃ καλλιστεύεται
τῶν νῦν ἐν ἀνθρώποισιν, οἶδ' ἐγώ, πολύ,
[λεπτόν τε πέπλον καὶ πλόκον χρυσήλατον]
παῖδας φέροντας. ἀλλ' ὅσον τάχος χρεὼν
κόσμον κομίζειν δεῦρο προσπόλων τινά.
εὐδαιμονήσει δ' οὐχ ἕν, ἀλλὰ μυρία,
ἀνδρός τ' ἀρίστου σοῦ τυχοῦσ' ὁμευνέτου
κεκτημένη τε κόσμον ὅν ποθ' Ἥλιος
πατρὸς πατὴρ δίδωσιν ἐκγόνοισιν οἷς.
λάζυσθε φερνὰς τάσδε, παῖδες, ἐς χέρας
καὶ τῇ τυράννῳ μακαρίᾳ νύμφῃ δότε
φέροντες· οὔτοι δῶρα μεμπτὰ δέξεται.
Ια. τί δ', ὦ ματαία, τῶνδε σὰς κενοῖς χέρας;
δοκεῖς σπανίζειν δῶμα βασίλειον πέπλων,

933 γρ. μεμνήσομαι suprascr. A 934 ἀποστεῖλαι A V B *l*: ἀποστέλλειν L P (corr. *l*) 938 ἀπαροῦμεν Elmsley ('rectius fortasse legeretur') 945 Medeae tribuunt V et Σ: Iasoni rell. 949 del. Bothe τε] δὲ A, corr. *a* καὶ πλόκον V B : om. A: καὶ στέφος L P *a* 953 ἀνδρός τ' A V: ἀνδρός γ' L P: ἀνδρὸς B 955 πατὴρ πατρὸς L P 956 χέρας A L P *v*: χέρα V B 957 δότε νύμφι (suprascr. η) A 958 οὔτι L 960 βασιλείων P *v*



δοκεῖς δὲ χρυσοῦ; σῷζε, μὴ δίδου τάδε.
εἴπερ γὰρ ἡμᾶς ἀξιοῖ λόγου τινὸς
γυνή, προθήσει χρημάτων, σάφ' οἶδ' ἐγώ.
Μη. μή μοι σύ· πείθειν δῶρα καὶ θεοὺς λόγος·
χρυσὸς δὲ κρείσσων μυρίων λόγων βροτοῖς.
κείνης ὁ δαίμων, κεῖνα νῦν αὔξει θεός,
νέα τυραννεῖ· τῶν δ' ἐμῶν παίδων φυγὰς
ψυχῆς ἂν ἀλλαξαίμεθ', οὐ χρυσοῦ μόνον.
ἀλλ', ὦ τέκν', εἰσελθόντε πλουσίους δόμους
πατρὸς νέαν γυναῖκα, δεσπότιν δ' ἐμήν,
ἱκετεύετ', ἐξαιτεῖσθε μὴ φυγεῖν χθόνα,
κόσμον διδόντες, τοῦδε γὰρ μάλιστα δεῖ,
ἐς χεῖρ' ἐκείνης δῶρα δέξασθαι τάδε.
ἴθ' ὡς τάχιστα· μητρὶ δ' ὧν ἐρᾷ τυχεῖν
εὐάγγελοι γένοισθε πράξαντες καλῶς.
Χο. νῦν ἐλπίδες οὐκέτι μοι παίδων ζόας, [στρ.
οὐκέτι· στείχουσι γὰρ ἐς φόνον ἤδη.
δέξεται νύμφα χρυσέων ἀναδεσμῶν
δέξεται δύστανος ἄταν·
ξανθᾷ δ' ἀμφὶ κόμᾳ θήσει τὸν Ἅιδα
κόσμον αὐτὰ χεροῖν. [λαβοῦσα.]
πείσει χάρις ἀμβρόσιός τ' αὐγὰ πέπλον [ἀντ.
χρυσότευκτόν τε στέφανον περιθέσθαι·
νερτέροις δ' ἤδη πάρα νυμφοκομήσει.

963 προθήσει] προτιμη . . . suprascr. L ἐγώ] ὅτι L 966 ἄξει A 968 ψυχαῖς V γρ. ῆς suprascr. *v* 969 εἰσελθόντε L P B: εἰσελθόντες A V πλουσίους A V B *l*: πλησίους L P 970 δ' ἐμήν Elmsley: τ' ἐμήν codd. 971 φυγεῖν L P: φεύγειν A V B 972 φέροντες L 973 ἐκείνης L P *v*: ἐκείνην A V B 976 ζόας Porson: ζωᾶς codd. 977 ἤδη] οἶδα L, corr. *l* 978 ἀναδεσμῶν Porson (-ᾶν Elmsley): ἀναδέσμων codd. 979 δύστανος Aldina: ἁ δύστανος L P: δύστηνος A V B 981 αὐτὰ L P *v*: αὐτὴ A V: om. B λαβοῦσα del. Nauck 982 τ' om. V B: add. *v* πέπλον Elmsley: πέπλων A V B L: πέπλου P *v* 983 χρυσότευκτόν τε Elmsley post Reiskium (χρυσοτευκτὸν Haun. et fortasse Σ): χρυσεοτευκτὸν codd. 985 πάρα νυμφοκοσμήσει L *v* Σ: παρανυμφοκομήσει A V: παρανυμφοκοσμήσει A[1] B P.

*τοῖον εἰς ἕρκος πεσεῖται*
*καὶ μοῖραν θανάτου δύστανος· ἄταν δ'*
*οὐχ ὑπεκφεύξεται.*

*σὺ δ' ὦ τάλαν ὦ κακόνυμφε κηδεμὼν τυράννων* [στρ.
*παισὶν οὐ κατειδὼς*
*ὄλεθρον βιοτᾷ προσάγεις ἀλόχῳ*
*τε σᾷ στυγερὸν θάνατον.*
*δύστανε, μοίρας ὅσον παροίχῃ.*

*μεταστένομαι δὲ σὸν ἄλγος, ὦ τάλαινα παίδων* [ἀντ.
*μᾶτερ, ἃ φονεύσεις*
*τέκνα νυμφιδίων ἕνεκεν λεχέων,*
*ἅ σοι προλιπὼν ἀνόμως*
*ἄλλᾳ ξυνοικεῖ πόσις συνεύνῳ.*

Πα. *δέσποιν', ἀφεῖνται παῖδες οἵδε σοι φυγῆς,*
*καὶ δῶρα νύμφη βασιλὶς ἀσμένη χεροῖν*
*ἐδέξατ'· εἰρήνη δὲ τἀκεῖθεν τέκνοις.*
*ἔα.*
*τί συγχυθεῖσ' ἕστηκας ἡνίκ' εὐτυχεῖς;*
[*τί σὴν ἔστρεψας ἔμπαλιν παρηίδα*
*κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον;*]
Μη. *αἰαῖ.*
Πα. *τάδ' οὐ ξυνῳδὰ τοῖσιν ἐξηγγελμένοις.*
Μη. *αἰαῖ μάλ' αὖθις.* Πα. *μῶν τιν' ἀγγέλλων τύχην*
*οὐκ οἶδα, δόξης δ' ἐσφάλην εὐαγγέλου;*

987 post *θανάτου* add. *προσλήψεται* *v* 988 *ὑπεκφεύξεται* L : *ὑπεφεύξεται* P : *ὑπερφεύξεται* A V B 993 *ὄλεθρον* L : *ὀλέθριον* rell. *βιοτᾷ* Σ et B *v* : *βιοτὰν* B² rell. 994 *στυγερὸν θάνατον*] *στυγερᾷ στυγερόν* A 998 *φονεύεις* V 1001 *ἄλλῃ* codd. : corr. Musgrave 1002 ante hunc versum *παιδγ.* V L P : *πρε.* A B : in sequentibus *παιδγ.* semper L P : *πρε.* semper A B : V sibi non constat. Cf. not. ad v. 49 *σοι* Wecklein : *σοὶ* codd. 1004 *ἔα* Medeae trib. codd., fortasse recte : seni dat Kirchhoff (et Haun.) 1006–7 del. Valckenaer *ἔτρεψας* B 1008 *αἶ* bis L P B : ter A : quater V 1009 *ἀγγέλλων* A B *p* : *ἀγγέλων* V : *ἀγγέλω* L P 1010 *δ'* om. V : add. *v*

φεῦ φεῦ· τί προσδέρκεσθέ μ' ὄμμασιν, τέκνα;
τί προσγελᾶτε τὸν πανύστατον γέλων;
αἰαῖ· τί δράσω; καρδία γὰρ οἴχεται,
γυναῖκες, ὄμμα φαιδρὸν ὡς εἶδον τέκνων.
οὐκ ἂν δυναίμην· χαιρέτω βουλεύματα
τὰ πρόσθεν· ἄξω παῖδας ἐκ γαίας ἐμούς.
τί δεῖ με πατέρα τῶνδε τοῖς τούτων κακοῖς
λυποῦσαν αὐτὴν δὶς τόσα κτᾶσθαι κακά;
οὐ δῆτ' ἔγωγε. χαιρέτω βουλεύματα.
καίτοι τί πάσχω; βούλομαι γέλωτ' ὀφλεῖν
ἐχθροὺς μεθεῖσα τοὺς ἐμοὺς ἀζημίους;
τολμητέον τάδ'. ἀλλὰ τῆς ἐμῆς κάκης,
τὸ καὶ προσέσθαι μαλθακοὺς λόγους φρενί.
χωρεῖτε, παῖδες, ἐς δόμους. ὅτῳ δὲ μὴ
θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν,
αὐτῷ μελήσει· χεῖρα δ' οὐ διαφθερῶ.
ἆ ἆ.
μὴ δῆτα, θυμέ, μὴ σύ γ' ἐργάσῃ τάδε·
ἔασον αὐτούς, ὦ τάλαν, φεῖσαι τέκνων·
ἐκεῖ μεθ' ἡμῶν ζῶντες εὐφρανοῦσί σε.
μὰ τοὺς παρ' Ἅιδῃ νερτέρους ἀλάστορας,
οὔτοι ποτ' ἔσται τοῦθ' ὅπως ἐχθροῖς ἐγὼ
παῖδας παρήσω τοὺς ἐμοὺς καθυβρίσαι.
[πάντως σφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρή,
ἡμεῖς κτενοῦμεν οἵπερ ἐξεφύσαμεν.]
πάντως πέπρακται ταῦτα κοὐκ ἐκφεύξεται.

1040 μ'] ἐμ' B (corr. B²) : om. V    τέκνα L P B : φίλοις A V    1043 φαιδρὸν] τερπνὸν B et Haun.    1046 με om. A    1048 γρ. παύσομαι βουλευμάτων Σ B    1052 προσέσθαι Badham : προέσθαι codd.    φρενί L P Σ : φρενός A V B l    1054 θύμασιν L P : δώμασιν A V B l    1056 super ἆ ἆ suprascr. ὢ ὢ A    μὴ σύ γ' L P : μήποτ' A V B    τάδε L P B v : τόδε A V    1058 σε] με V    1059 ᾄδῃ V B : ᾅδην A L P v    1060 πόθ' V : γρ. πῶς v : ποθ' A    τοῦθ'] τόδ' V : γρ. τοῦτ' ὃ v    1062, 1063 del. Pierson : extant in Π⁶ : cf. 1240, 1241    1063 κτενοῦμεν A¹ L P : κτανοῦμεν V B et sine dubio A    1064 πέπρωται L v

πῶς οὖν λύει πρὸς τοῖς ἄλλοις
τήνδ᾽ ἔτι λύπην ἀνιαροτάτην
παίδων ἕνεκεν
θνητοῖσι θεοὺς ἐπιβάλλειν;

Μη. φίλαι, πάλαι τοι προσμένουσα τὴν τύχην
καραδοκῶ τἀκεῖθεν οἷ προβήσεται.
καὶ δὴ δέδορκα τόνδε τῶν Ἰάσονος
στείχοντ᾽ ὀπαδῶν· πνεῦμα δ᾽ ἠρεθισμένον
δείκνυσιν ὥς τι καινὸν ἀγγελεῖ κακόν.

ΑΓΓΕΛΟΣ

ὦ δεινὸν ἔργον παρανόμως εἰργασμένη,
Μήδεια, φεῦγε φεῦγε, μήτε ναΐαν
λιποῦσ᾽ ἀπήνην μήτ᾽ ὄχον πεδοστιβῆ.

Μη. τί δ᾽ ἄξιόν μοι τῆσδε τυγχάνει φυγῆς;

Αγ. ὄλωλεν ἡ τύραννος ἀρτίως κόρη
Κρέων θ᾽ ὁ φύσας φαρμάκων τῶν σῶν ὕπο.

Μη. κάλλιστον εἶπας μῦθον, ἐν δ᾽ εὐεργέταις
τὸ λοιπὸν ἤδη καὶ φίλοις ἐμοῖς ἔσῃ.

Αγ. τί φῄς; φρονεῖς μὲν ὀρθὰ κοὐ μαίνῃ, γύναι,
ἥτις, τυράννων ἑστίαν ᾐκισμένη,
χαίρεις κλύουσα κοὐ φοβῇ τὰ τοιάδε;

Μη. ἔχω τι κἀγὼ τοῖς γε σοῖς ἐναντίον
λόγοισιν εἰπεῖν· ἀλλὰ μὴ σπέρχου, φίλος,
λέξον δέ· πῶς ὤλοντο; δὶς τόσον γὰρ ἂν
τέρψειας ἡμᾶς, εἰ τεθνᾶσι παγκάκως.

1113 τηνδε ετ]ι λυπην προς τοις αλλοις Π[5]  1116 τοι] δὴ B  1117 τὰ κεῖθεν οἷ 'προβήσεται B, unde 'ποβήσεται Cobet  1118 καὶ δὴ A V B: καίτοι L P  τῶν B *v* et Chr. Pat. 124: τὸν A V L P  1119 ὀπαδῶν *v* et Chr. Pat.: ὀπαδὸν codd.  δ' Hermann: τ' codd. (πνεύματ' et δείκνυσι δ' Haun.)  1120 δείκνυσιν A B: δείκνυσι δ' V L P Haun.  1121 om. B Haun.: add. *b*  ἀγγ. L P ante versum: θερ. A V B (id. 1125, 1129, 1136)  παρανόμως τ' B V  εἰργασμένον V  1126 θ'] δ' V  1130 τύραννον *v*  ἑστίαν L P: οἰκίαν A V B et fortasse Σ  ᾐκισμένη A L P: ᾐκισμένην V B et fortasse Σ  1132 τοῖσδε Lascaris: τοῖσι Haun.  1134 δὲ πῶς L P: δ' ὅπως A V B  1135 τέρψειαν V: corr. *v*

Αγ. ἐπεὶ τέκνων σῶν ἦλθε δίπτυχος γονὴ
σὺν πατρί, καὶ παρῆλθε νυμφικοὺς δόμους,
ἥσθημεν οἵπερ σοῖς ἐκάμνομεν κακοῖς
δμῶες· δι' ὤτων δ' εὐθὺς ἦν πολὺς λόγος
σὲ καὶ πόσιν σὸν νεῖκος ἐσπεῖσθαι τὸ πρίν.
κυνεῖ δ' ὃ μέν τις χεῖρ', ὃ δὲ ξανθὸν κάρα
παίδων· ἐγὼ δὲ καὐτὸς ἡδονῆς ὕπο
στέγας γυναικῶν σὺν τέκνοις ἅμ' ἑσπόμην.
δέσποινα δ' ἣν νῦν ἀντὶ σοῦ θαυμάζομεν,
πρὶν μὲν τέκνων σῶν εἰσιδεῖν ξυνωρίδα,
πρόθυμον εἶχ' ὀφθαλμὸν εἰς Ἰάσονα·
ἔπειτα μέντοι προὐκαλύψατ' ὄμματα
λευκήν τ' ἀπέστρεψ' ἔμπαλιν παρηίδα,
παίδων μυσαχθεῖσ' εἰσόδους· πόσις δὲ σὸς
ὀργάς τ' ἀφῄρει καὶ χόλον νεάνιδος
λέγων τάδ'· Οὐ μὴ δυσμενὴς ἔσῃ φίλοις,
παύσῃ δὲ θυμοῦ καὶ πάλιν στρέψεις κάρα,
φίλους νομίζουσ' οὕσπερ ἂν πόσις σέθεν,
δέξῃ δὲ δῶρα καὶ παραιτήσῃ πατρὸς
φυγὰς ἀφεῖναι παισὶ τοῖσδ', ἐμὴν χάριν;
ἡ δ', ὡς ἐσεῖδε κόσμον, οὐκ ἠνέσχετο,
ἀλλ' ᾔνεσ' ἀνδρὶ πάντα, καὶ πρὶν ἐκ δόμων
μακρὰν ἀπεῖναι πατέρα καὶ παῖδας σέθεν
λαβοῦσα πέπλους ποικίλους ἠμπέσχετο,
χρυσοῦν τε θεῖσα στέφανον ἀμφὶ βοστρύχοις
λαμπρῷ κατόπτρῳ σχηματίζεται κόμην,
ἄψυχον εἰκὼ προσγελῶσα σώματος.
κἄπειτ' ἀναστᾶσ' ἐκ θρόνων διέρχεται

1139 πολὺς om. B 1141 κύνει codd., fortasse recte. Cf. v. 1207 1144 δέσποιναν ἣν V: corr. $V^1$ 1150 sic L P B (τ' om. B): ὀργὰς ἀφῄρει καὶ νεάνιδος χόλον A V 1156 ὡς L P: ὥς τ' A: ὥστ' V B 1158 παῖδας σέθεν B P $l$ $\Pi^7$: τέκνα σέθεν A V: παῖδας L, om. σέθεν 1159 ἠμπίσχετο Haun. ante correct., Elmsley 1160 βοστρύχους L 1161 κόμην] δέμας V: corr. $v$ 1162 γρ. προσβλέπουσα Σ B



στέγας, ἁβρὸν βαίνουσα παλλεύκῳ ποδί,
δώροις ὑπερχαίρουσα, πολλὰ πολλάκις
τένοντ' ἐς ὀρθὸν ὄμμασι σκοπουμένη.
τοὐνθένδε μέντοι δεινὸν ἦν θέαμ' ἰδεῖν·
χροιὰν γὰρ ἀλλάξασα λεχρία πάλιν
χωρεῖ τρέμουσα κῶλα καὶ μόλις φθάνει
θρόνοισιν ἐμπεσοῦσα μὴ χαμαὶ πεσεῖν.
καί τις γεραιὰ προσπόλων, δόξασά που
ἢ Πανὸς ὀργὰς ἤ τινος θεῶν μολεῖν,
ἀνωλόλυξε, πρίν γ' ὁρᾷ διὰ στόμα
χωροῦντα λευκὸν ἀφρόν, ὀμμάτων τ' ἄπο
κόρας στρέφουσαν, αἷμά τ' οὐκ ἐνὸν χροΐ·
εἶτ' ἀντίμολπον ἧκεν ὀλολυγῆς μέγαν
κωκυτόν. εὐθὺς δ' ἡ μὲν ἐς πατρὸς δόμους
ὥρμησεν, ἡ δὲ πρὸς τὸν ἀρτίως πόσιν,
φράσουσα νύμφης συμφοράν· ἅπασα δὲ
στέγη πυκνοῖσιν ἐκτύπει δρομήμασιν.
ἤδη δ' †ἀνέλκων† κῶλον ἐκπλέθρου δρόμου
ταχὺς βαδιστὴς τερμόνων †ἀνθήπτετο†·
ἡ δ' ἐξ ἀναύδου καὶ μύσαντος ὄμματος
δεινὸν στενάξασ' ἡ τάλαιν' ἠγείρετο.
διπλοῦν γὰρ αὐτῇ πῆμ' ἐπεστρατεύετο·
χρυσοῦς μὲν ἀμφὶ κρατὶ κείμενος πλόκος
θαυμαστὸν ἵει νᾶμα παμφάγου πυρός,
πέπλοι δὲ λεπτοί, σῶν τέκνων δωρήματα,

1164 κινοῦσα πάλλευκον πόδα Haun. 1167 τοὐντεῦθεν μέν τοι A 1168 λεχρία A B L P $\Pi^7$ Σ: λεχρίαν V 1169 τρέχουσα L P 1171 δοξασ[α που add. manus recentior in margine in $\Pi^7$ 1173 ὁρᾶν $B^2$ διὰ A V B: κατὰ L P $\Pi^7$ Σ 1174 τ' L P $\Pi^7$: δ' A V B ἄπο codd. (ἀπ[ο $\Pi^7$): ἀπὸ Heath 1175 αἷμα ex ομμα correct. $\Pi^7$, ut vid. 1176 μέγαν] μέλος $\Pi^7$ 1179 συμφοράν L P: συμφοράς A V B 1180 δραμήμασιν Cobet 1181 ἀνέλκων codd. Σ: ἂν ἕλκων Schaefer: ἀνελθὼν Lenting ἐκπλέθρου Reiske: ἔκπλεθρον L: ἐκπλεθρον A V B P Σ 1182 ἀνθήπτετο codd. Σ: ἂν ἥπτετο Musgrave 1183 ὄμματα Chr. Pat. 906 1184 ἠγείρετο A V B γρ. $l$: ἀπώλλυτο L P 1186 πλόκος] κόσμος V 1188 δὲ L P: τε A V B

λευκὴν ἔδαπτον σάρκα τῆς δυσδαίμονος.
φεύγει δ' ἀναστᾶσ' ἐκ θρόνων πυρουμένη,
σείουσα χαίτην κρᾶτά τ' ἄλλοτ' ἄλλοσε,
ῥῖψαι θέλουσα στέφανον· ἀλλ' ἀραρότως
σύνδεσμα χρυσὸς εἶχε, πῦρ δ', ἐπεὶ κόμην
ἔσεισε, μᾶλλον δὶς τόσως ἐλάμπετο.
πίτνει δ' ἐς οὖδας συμφορᾷ νικωμένη,
πλὴν τῷ τεκόντι κάρτα δυσμαθὴς ἰδεῖν·
οὔτ' ὀμμάτων γὰρ δῆλος ἦν κατάστασις
οὔτ' εὐφυὲς πρόσωπον, αἷμα δ' ἐξ ἄκρου
ἔσταζε κρατὸς συμπεφυρμένον πυρί,
σάρκες δ' ἀπ' ὀστέων ὥστε πεύκινον δάκρυ
γναθμοῖς ἀδήλοις φαρμάκων ἀπέρρεον,
δεινὸν θέαμα· πᾶσι δ' ἦν φόβος θιγεῖν
νεκροῦ· τύχην γὰρ εἴχομεν διδάσκαλον.
πατὴρ δ' ὁ τλήμων συμφορᾶς ἀγνωσίᾳ
ἄφνω προσελθὼν δῶμα προσπίτνει νεκρῷ·
ᾤμωξε δ' εὐθύς, καὶ περιπτύξας χέρας
κυνεῖ προσαυδῶν τοιάδ'· Ὦ δύστηνε παῖ,
τίς σ' ὧδ' ἀτίμως δαιμόνων ἀπώλεσε;
τίς τὸν γέροντα τύμβον ὀρφανὸν σέθεν
τίθησιν; οἴμοι, συνθάνοιμί σοι, τέκνον.
ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο,
χρῄζων γεραιὸν ἐξαναστῆσαι δέμας
προσείχεθ' ὥστε κισσὸς ἔρνεσιν δάφνης
λεπτοῖσι πέπλοις, δεινὰ δ' ἦν παλαίσματα·

1189 λευκὴν B Haun. : λεπτὴν rell. 1190 θρόνων] δόμων A 1191 σείουσαν V 1194 τόσως L : τόσων P : τόσως τ' A : τοσῶς τ' V B : τόσον τ' B$^{2}$ v 1195 πιτνεῖ δ' ἐς A V B : πίπτει δ' ἐπ' L P Chr. Pat. 1089, 2102 : πει[πτεί Π$^{7}$ 1201 ἀδήλοις A V B l : ἀδήλων L et sine dubio P : γναθμῶν ἀδήλοις φαρμάκοις p 1205 παρελθὼν Nauck, fortasse recte προσπιτνεῖ L P v : προσπίπτει A V B 1206 χέρας L P : δέμας A V B 1207 κυνεῖ V : κύνει rell., fortasse recte. Cf. v. 1141 παῖ] σὺ V : γρ. παῖ suprascr. v 1208 τίς σ' L B et v aut V$^{1}$ : τίς V P : τίς δ' A 1212 δέμας] γρ. πόδα ἢ γόνυ Σ B 1214 λεπνοῖσι A



ὁ μὲν γὰρ ἤθελ' ἐξαναστῆσαι γόνυ,
ἡ δ' ἀντελάζυτ'. εἰ δὲ πρὸς βίαν ἄγοι,
σάρκας γεραιὰς ἐσπάρασσ' ἀπ' ὀστέων.
χρόνῳ δ' ἀπέσβη καὶ μεθῆχ' ὁ δύσμορος
ψυχήν· κακοῦ γὰρ οὐκέτ' ἦν ὑπέρτερος.
κεῖνται δὲ νεκροὶ παῖς τε καὶ γέρων πατὴρ
πέλας, ποθεινὴ δακρύοισι συμφορά.
καί μοι τὸ μὲν σὸν ἐκποδὼν ἔστω λόγου·
γνώσῃ γὰρ αὐτὴ ζημίας ἀποστροφήν.
τὰ θνητὰ δ' οὐ νῦν πρῶτον ἡγοῦμαι σκιάν,
οὐδ' ἂν τρέσας εἴποιμι τοὺς σοφοὺς βροτῶν
δοκοῦντας εἶναι καὶ μεριμνητὰς λόγων,
τούτους μεγίστην μωρίαν ὀφλισκάνειν.
θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων ἀνήρ·
ὄλβου δ' ἐπιρρυέντος εὐτυχέστερος
ἄλλου γένοιτ' ἂν ἄλλος, εὐδαίμων δ' ἂν οὔ.

Χο. ἔοιχ' ὁ δαίμων πολλὰ τῇδ' ἐν ἡμέρᾳ
κακὰ ξυνάπτειν ἐνδίκως Ἰάσονι.
[ὦ τλῆμον, ὥς σου συμφορὰς οἰκτίρομεν,
κόρη Κρέοντος, ἥτις εἰς Ἅιδου δόμους
οἴχῃ γάμων ἕκατι τῶν Ἰάσονος.]

Μη. φίλαι, δέδοκται τοὔργον ὡς τάχιστά μοι
παῖδας κτανούσῃ τῆσδ' ἀφορμᾶσθαι χθονός,
καὶ μὴ σχολὴν ἄγουσαν ἐκδοῦναι τέκνα
ἄλλῃ φονεῦσαι δυσμενεστέρᾳ χερί.
πάντως σφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρή,

1215 γόνυ] γρ. δέμας v 1216 ἀντελάζυτ' L P : ἀντελάζετ' A V B p 1218 ἀπέσβη Scaliger : ἀπέστη codd. Σ 1221 δακρύοισι A L P Σ : δακρύουσι V B 1223 γνώσῃ codd. Σ : γρ. γλώσσῃ Σ ἀποστροφήν] ἀντιστροφήν Chr. Pat. 800 et fortasse Σ 1224 οὐ] οὖν A 1227 τούτοις B μωρίαν Aldina : ζημίαν codd. et Σ B 1228 εὐδαίμων ἀνήρ] ὄλβιος φύσει Chr. Pat. 1016 1232 ξυνάπτειν A V et sine dubio L : ξυνάψειν B P l 1233–1235 del. Weil 1234 δόμους L P et Chr. Pat. ter : πύλας A V B

ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
ἀλλ' εἶ' ὁπλίζου, καρδία. τί μέλλομεν
τὰ δεινὰ κἀναγκαῖα μὴ πράσσειν κακά;
ἄγ', ὦ τάλαινα χεὶρ ἐμή, λαβὲ ξίφος,
λάβ', ἕρπε πρὸς βαλβῖδα λυπηρὰν βίου,
καὶ μὴ κακισθῇς μηδ' ἀναμνησθῇς τέκνων,
ὡς φίλταθ', ὡς ἔτικτες· ἀλλὰ τήνδε γε
λαθοῦ βραχεῖαν ἡμέραν παίδων σέθεν,
κἄπειτα θρήνει· καὶ γὰρ εἰ κτενεῖς σφ', ὅμως
φίλοι γ' ἔφυσαν· δυστυχὴς δ' ἐγὼ γυνή.

Χο. ἰὼ Γᾶ τε καὶ παμφαὴς [στρ.
ἀκτὶς Ἀελίου, κατίδετ' ἴδετε τὰν
ὀλομέναν γυναῖκα, πρὶν φοινίαν
τέκνοις προσβαλεῖν χέρ' αὐτοκτόνον·
†σᾶς γὰρ ἀπὸ χρυσέας γονᾶς
ἔβλαστεν, θεοῦ δ' αἷμά τι πίτνειν†
φόβος ὑπ' ἀνέρων.
ἀλλά νιν, ὦ φάος διογενές, κάτειρ-
γε κατάπαυσον, ἔξελ' οἴκων τάλαι-
ναν φονίαν τ' Ἐρινὺν ὑπαλάστορον.

1241 κτενοῦμεν A L P : κτανοῦμεν V B 1243 μὴ οὐ Elmsley 1247 γε A V B *p* : σε L P 1248 λαβοῦ V 1249 κτενεῖς A V B : κτείνεις L P 1250 φίλοι γ' P : φίλοι τ' A V B : φίλοι δ' L 1251 τε om. A ιω γα τε και ωρανε και παμφαης $\Pi^5$ 1252 κατίδετ' ἴδετε O et procul dubio I. (κατίδετ' ἴδεθ' αἷμα Chr. Pat. 1080) : κατίδετε A V B P *l* 1253 οὐλομέναν V P *l* γυναῖκαν A πρὶν] πρὸς V : corr. *v* φοινίαν Aldina : φονίαν codd., etiam $\Pi^5$ 1254 τέκνοισι L P : τεκνιοισι $\Pi^5$ αὐτοκτόνων A B : corr. $A^1$ $B^2$ 1255, 1256 ita codd. (θεῶν $B^1$ et procul dubio L : αἷμα τι (sic) A : αἵματι V B : αἷμα L P) : tantum θεου δε] εντετλα [πιτνειν praebet $\Pi^5$; sed vix legibilis. Voluit fortasse θεου δε γενεθλαν πιτνειν. Fortasse legendum : τᾶς σᾶς γὰρ ἀπὸ χρυσέας γονᾶς | ἔβλαστεν, θεοῦ δὲ γενέθλαν πίτνειν (τᾶς add. Seidler) aut σᾶς γὰρ χρυσέας ἀπὸ γονᾶς (Musgrave) κτλ. Cf. 1265–6 1258 κάθειργε V : corr. *v* 1259 καταπα]υσον ελε [εξ]ελε οικιων $\Pi^5$ τάλαιναν φονίαν Seidler : φονίαν τάλαιναν codd., etiam $\Pi^5$ 1260 ἐρινὺν A : [ε]ρινυν $\Pi^5$ : ἐρινῦν $A^1$ V B : ἐριννὺν L P ὑπαλάστορον scripsi : ὑπ' ἀλαστόρων codd., etiam $\Pi^5$ υπο α[λαστορων



μάταν μόχθος ἔρρει τέκνων, [ἀντ.
μάταν ἄρα γένος φίλιον ἔτεκες, ὦ
κυανεᾶν λιποῦσα Συμπληγάδων
πετρᾶν ἀξενωτάταν ἐσβολάν.
†δειλαία, τί σοι φρενῶν βαρὺς
χόλος προσπίτνει καὶ δυσμενὴς†
φόνος ἀμείβεται;
χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ μιά-
σματ' ἐπὶ γαῖαν, αὐτοφόνταις ξυνῳ-
δὰ θεόθεν πίτνοντ' ἐπὶ δόμοις ἄχη.

⟨ΠΑΙΣ ἔνδοθεν·⟩
ἰώ μοι·
Χο. ἀκούεις βοὰν ἀκούεις τέκνων; 1273 [στρ.
ἰὼ τλᾶμον, ὦ κακοτυχὲς γύναι. 1274
Πα. — οἴμοι, τί δράσω; ποῖ φύγω μητρὸς χέρας; 1271
— οὐκ οἶδ', ἀδελφὲ φίλτατ'· ὀλλύμεσθα γάρ. 1272
Χο. παρέλθω δόμους; ἀρῆξαι φόνον 1275
δοκεῖ μοι τέκνοις.

1261, 1262 ματην αρα [. . . . . . τε]κνων γενος [φι]λιον ετε[κ]ε[ς ω $\Pi^5$ 1262 μάταν ἄρα Musgrave : ἄρα μάταν A V B : μάταν L P ἔτεκες ὦ] ἔτεκ' ὦ A : ἔτεκες P (et ὦ deletum in L) 1263 κυανεας λιπουσα συμπληγαδας $\Pi^5$ 1264 πετρῶν ἀξενωτάτων V 1265, 1266 ita codd. (δειλέα V, corr. *v* : δηλέα L) : αλλα δη ταδε τι σ[οι φρε]νων βαρυς ut vid. $\Pi^5$, tum χολος πιτνει δαι δυσμενης. Fortasse legendum: δειλαία τί σοι φρενῶν βαρὺς | χόλος προσπίτνει καὶ τάδε δυσμενὴς (τάδε addidi) aut δειλαία τί σοι φρενοβαρὴς (Seidler) κτέ. 1267 ἀμοίβεται; L : ἀμείρεται φόνος; P (ἀμείβεται φόνος *l*) : [φονος α]μειβεται $\Pi^5$ 1268 μιάσματα A V B et fortasse $\Pi^5$ : μιάσματ' L P 1269, 1270 (μιασμ)α[τα] επι γαιαν αυτοφονταις συνωι[δα θεοθεν] πιτνοντ επι δ[ομοις] αχεα $\Pi^5$ ξυνωδὰ L V : συνωδὰ $A^1$ P : συνῳδᾷ A B : σύνοιδα $B^2$ : γρ. ξύνοιδα *v* πιτνοῦντ' L P δόμους corr. $V^1$ ἄχους corr. *v* Post 1270 ΠΑΙΣ ἔνδοθεν· ἰώ μοι scripsi (ΠΑΙΔΕΣ ἔνδοθεν· ἰώ μοι Schadewaldt, ΠΑΙΔΕΣ ἔνδοθεν· αἰαῖ Murray) 1273, 1274 ante 1271 transposuit Schenkl : ιωι μ[οι ακου]εις βοαν ι[ω] τλημων ιω κακοτυχες γυναι ante 1271, tum ακουεις βοαν ακουει]ς τεκνων ιω τλημων [ιω κακοτυχες γυναι post 1272 habet $\Pi^5$ 1274 τλῆμον L P 1271 παῖς, 1272 ἕτερος παῖς praef. codd. (ἕτερος om. B) 1275, 1276 αρηξαι τεκνοις δοκ]ει μοι φον[ου]ς $\Pi^5$

Πα. — ναί, πρὸς θεῶν, ἀρήξατ'· ἐν δέοντι γάρ.
— ὡς ἐγγὺς ἤδη γ' ἐσμὲν ἀρκύων ξίφους.
Χο. τάλαιν', ὡς ἄρ' ἦσθα πέτρος ἢ σίδα-
ρος, ἅτις τέκνων
ὃν ἔτεκες ἄροτον αὐτόχειρι μοίρᾳ κτενεῖς.

μίαν δὴ κλύω μίαν τῶν πάρος [αντ.
γυναῖκ' ἐν φίλοις χέρα βαλεῖν τέκνοις·
Ἰνὼ μανεῖσαν ἐκ θεῶν, ὅθ' ἡ Διὸς
δάμαρ νιν ἐξέπεμψε δωμάτων ἄλῃ·
πίτνει δ' ἁ τάλαιν' ἐς ἅλμαν φόνῳ
τέκνων δυσσεβεῖ,
ἀκτῆς ὑπερτείνασα ποντίας πόδα,
δυοῖν τε παίδοιν συνθανοῦσ' ἀπόλλυται.
τί δῆτ' οὖν γένοιτ' ἂν ἔτι δεινόν; ὦ
γυναικῶν λέχος
πολύπονον, ὅσα βροτοῖς ἔρεξας ἤδη κακά.

Ια. γυναῖκες, αἳ τῆσδ' ἐγγὺς ἕστατε στέγης,
ἆρ' ἐν δόμοισιν ἡ τὰ δείν' εἰργασμένη
Μήδεια τοῖσδ' ἔτ', ἢ μεθέστηκεν φυγῇ;
δεῖ γάρ νιν ἤτοι γῆς γε κρυφθῆναι κάτω,

1277, 1278 om. $\Pi^5$ Ante 1277 παῖδες praef. codd. (οἱ δύο παῖδες A): ante 1278 nota nulla (ἄλλος add. v) 1281 ὃν $\Pi^8$ (coniecerat Seidler): ὧν codd. μοίρᾳ] τ[ολ]μαι $\Pi^5$ κτενες $\Pi^5$ 1282 δηι $\Pi^8$ μίαν τῶν] μίαν om. A et $\Pi^5$: μόναν δὴ in margine $\Pi^8$ 1283 γυναῖκ' ἐν P l $\Pi^8$: γυναικ** L (i.e. γυναικῶν sine ἐν): γυναικ]ων[ $\Pi^5$ (de ἐν non liquet): γυναικῶν ἐν A V B H χέρα Aldina et procul dubio L: χεῖρα A V B P l $\Pi^8$ $\Pi^5$ H βαλεῖν A V B $\Pi^8$ $\Pi^5$: προσβαλεῖν L P: τεκνοι]ς χειρα βαλειν $\Pi^5$ 1284 ως εκ θ[εω]ν $\Pi^5$, om. Ἰνὼ μανεῖσαν 1285 νιν om. $\Pi^5$ ἐξέπεμπε B Haun. H (-εν) ἄλῃ codd.: αλαι $\Pi^5$: αλαις (ηι suprascr.) $\Pi^8$ 1286 ἁ A B $\Pi^8$: ἡ L P: ὦ V 1287, 1288 om. $\Pi^5$ 1288 ὑπερτείνασα (ου suprascr.) $\Pi^8$: ὑπερτεινῦσα H 1289 τε A V B $\Pi^8$: δὲ P: δὴ L 1290 δητ' $\Pi^8$ (δῆτ' coniecerat Elmsley): δή ποτ' rell. οὖν] οὐ $\Pi^8$ ἔτι δεινόν;] ετι πημα [δεινον $\Pi^5$ 1291 λέχος πολύπονον γυναικῶν V 1292 ὅσα δὴ V $\Pi^8$: ὅσσα δὴ A B L P H: corr. Seidler ἤδηι $\Pi^8$ 1295 τοῖσδ' ἔτ' Lenting: τοῖσδέ γ' A V B H: τοῖσιν L P $\Pi^8$ (τοῖσί γ' v): τοισίδ' Canter 1296 δεῖν A B H γῆς γε $\Pi^8$ (coniecerat Elmsley): γῆς σφε A B V L P: γῇ σφε H



ἢ πτηνὸν ἆραι σῶμ' ἐς αἰθέρος βάθος,
εἰ μὴ τυράννων δώμασιν δώσει δίκην.
πέποιθ' ἀποκτείνασα κοιράνους χθονὸς
ἀθῷος αὐτὴ τῶνδε φεύξεσθαι δόμων;
ἀλλ' οὐ γὰρ αὐτῆς φροντίδ' ὡς τέκνων ἔχω·
κείνην μὲν οὓς ἔδρασεν ἔρξουσιν κακῶς,
ἐμῶν δὲ παίδων ἦλθον ἐκσώσων βίον,
μή μοί τι δράσωσ' οἱ προσήκοντες γένει,
μητρῷον ἐκπράσσοντες ἀνόσιον φόνον.
Χο. ὦ τλῆμον, οὐκ οἶσθ' οἷ κακῶν ἐλήλυθας,
Ἰᾶσον· οὐ γὰρ τούσδ' ἂν ἐφθέγξω λόγους.
Ια. τί δ' ἔστιν; ἦ που κἄμ' ἀποκτεῖναι θέλει;
Χο. παῖδες τεθνᾶσι χειρὶ μητρῴᾳ σέθεν.
Ια. οἴμοι, τί λέξεις; ὥς μ' ἀπώλεσας, γύναι.
Χο. ὡς οὐκέτ' ὄντων σῶν τέκνων φρόντιζε δή.
Ια. ποῦ γάρ νιν ἔκτειν'; ἐντὸς ἢ ἔξωθεν δόμων;
Χο. πύλας ἀνοίξας σῶν τέκνων ὄψῃ φόνον.
Ια. χαλᾶτε κλῇδας ὡς τάχιστα, πρόσπολοι,
ἐκλύεθ' ἁρμούς, ὡς ἴδω διπλοῦν κακόν,
τοὺς μὲν θανόντας, τὴν δὲ τείσωμαι δίκην.
Μη. τί τάσδε κινεῖς κἀναμοχλεύεις πύλας,
νεκροὺς ἐρευνῶν κἀμὲ τὴν εἰργασμένην;
παῦσαι πόνου τοῦδ'. εἰ δ' ἐμοῦ χρείαν ἔχεις,
λέγ', εἴ τι βούλῃ, χειρὶ δ' οὐ ψαύσεις ποτέ.

1297 ἆραι] ἄρα correct. in ἆρα A: αἶραι $\Pi^8$ βάθος] πτύχαις suprascr. $V^1$ 1298 εἰ μὴ] ἢ μὴν ut vid. $V^1$: εἰ in rasura in A B: εἰ μή, commate addito $A^1$ $B^2$ δώσει] δώσειν ut vid. Σ et fortasse $\Pi^8$ 1299 αποκτεινοῦσ[α (α suprascr.) $\Pi^8$ κοιράνους L P B: τυράννους A V H 1300 om. $\Pi^8$ φεύξεται fortasse Σ, puncto non ante sed post πέποιθ' posito 1302 κεῖνοι μὲν οὖν οὓς (vel οὓς οὓς) H ἔρξουσιν A L v: ἕρξουσιν V B P 1303 ἐκσῶσαι p H 1308 ἦ που codd.: ου που $\Pi^8$, η super ου suprascr.: fort. ἔστι; μή που 1311 τῶν σῶν A 1314 κλεῖδας A 1315 διπλᾶ κακὰ A 1316 τίσωμαι δίκην L P: τίσομαι φόνῳ A V B (δίκην suprascr. v) 1317 ἄνω ἐπὶ ὕψους (ἐπὶ τοῦ πύργου B) ἑστῶσα ταῦτα λέγει Σ τί τάσδε . . . πύλας] τί τούσδε κινεῖς κἀναμοχλεύεις λόγους bis Chr. Pat. 121 et 437. 1320 γρ. οὐχ ἅψῃ v

τοιόνδ' ὄχημα πατρὸς Ἥλιος πατὴρ
δίδωσιν ἡμῖν, ἔρυμα πολεμίας χερός.
Ια. ὦ μῖσος, ὦ μέγιστον ἐχθίστη γύναι
θεοῖς τε κἀμοὶ παντί τ' ἀνθρώπων γένει,
ἥτις τέκνοισι σοῖσιν ἐμβαλεῖν ξίφος
ἔτλης τεκοῦσα, κἄμ' ἄπαιδ' ἀπώλεσας·
καὶ ταῦτα δράσασ' ἥλιόν τε προσβλέπεις
καὶ γαῖαν, ἔργον τλᾶσα δυσσεβέστατον;
ὄλοι'· ἐγὼ δὲ νῦν φρονῶ, τότ' οὐ φρονῶν,
ὅτ' ἐκ δόμων σε βαρβάρου τ' ἀπὸ χθονὸς
Ἕλλην' ἐς οἶκον ἠγόμην, κακὸν μέγα,
πατρός τε καὶ γῆς προδότιν ἥ σ' ἐθρέψατο.
τὸν σὸν δ' ἀλάστορ' εἰς ἔμ' ἔσκηψαν θεοί·
κτανοῦσα γὰρ δὴ σὸν κάσιν παρέστιον
τὸ καλλίπρῳρον εἰσέβης Ἀργοῦς σκάφος.
ἤρξω μὲν ἐκ τοιῶνδε· νυμφευθεῖσα δὲ
παρ' ἀνδρὶ τῷδε καὶ τεκοῦσά μοι τέκνα,
εὐνῆς ἕκατι καὶ λέχους σφ' ἀπώλεσας.
οὐκ ἔστιν ἥτις τοῦτ' ἂν Ἑλληνὶς γυνὴ
ἔτλη ποθ', ὧν γε πρόσθεν ἠξίουν ἐγὼ
γῆμαι σέ, κῆδος ἐχθρὸν ὀλέθριόν τ' ἐμοί,
λέαιναν, οὐ γυναῖκα, τῆς Τυρσηνίδος
Σκύλλης ἔχουσαν ἀγριωτέραν φύσιν.
ἀλλ' οὐ γὰρ ἄν σε μυρίοις ὀνείδεσι
δάκοιμι· τοιόνδ' ἐμπέφυκέ σοι θράσος·
ἔρρ', αἰσχροποιὲ καὶ τέκνων μιαιφόνε.
ἐμοὶ δὲ τὸν ἐμὸν δαίμον' αἰάζειν πάρα,
ὃς οὔτε λέκτρων νεογάμων ὀνήσομαι,
οὐ παῖδας οὓς ἔφυσα κἀξεθρεψάμην
ἕξω προσειπεῖν ζῶντας, ἀλλ' ἀπώλεσα.

1321 ἡλίου L P: corr. *p* 1324 και μοι Π[8] 1326 καί μ' A
1328 τλᾶσα A V B: δρῶσα L P 1330 δόμων A V B: δόμου L P
σε] γρ. σου *v* 1333 τὸν σὸν δ' L P: τὸν σὸν A V B[1] (τὸ σὸν B)
1338 ἀπέωσας A 1339 οὐκ ἔστι τοῦτ' ἥτις ἂν V 1348 ὡς A



Μη. μακρὰν ἂν ἐξέτεινα τοῖσδ' ἐναντίον
λόγοισιν, εἰ μὴ Ζεὺς πατὴρ ἠπίστατο
οἷ' ἐξ ἐμοῦ πέπονθας οἷά τ' εἰργάσω·
σὺ δ' οὐκ ἔμελλες τἄμ' ἀτιμάσας λέχη
τερπνὸν διάξειν βίοτον ἐγγελῶν ἐμοί·
οὐδ' ἡ τύραννος, οὐδ' ὅ σοι προσθεὶς γάμους
Κρέων ἀνατεὶ τῆσδέ μ' ἐκβαλεῖν χθονός.
πρὸς ταῦτα καὶ λέαιναν, εἰ βούλῃ, κάλει
καὶ Σκύλλαν ἣ Τυρσηνὸν ᾤκησεν †πέδον·†
τῆς σῆς γὰρ ὡς χρὴ καρδίας ἀνθηψάμην.
Ια. καὐτή γε λυπῇ καὶ κακῶν κοινωνὸς εἶ.
Μη. σάφ' ἴσθι· λύει δ' ἄλγος, ἢν σὺ μὴ 'γγελᾷς.
Ια. ὦ τέκνα, μητρὸς ὡς κακῆς ἐκύρσατε.
Μη. ὦ παῖδες, ὡς ὤλεσθε πατρῴᾳ νόσῳ.
Ια. οὐ τοίνυν ἡμὴ δεξιά σφ' ἀπώλεσεν.
Μη. ἀλλ' ὕβρις, οἵ τε σοὶ νεοδμῆτες γάμοι.
Ια. λέχους σφε κἠξίωσας οὕνεκα κτανεῖν;
Μη. σμικρὸν γυναικὶ πῆμα τοῦτ' εἶναι δοκεῖς;
Ια. ἥτις γε σώφρων· σοὶ δὲ πάντ' ἐστὶν κακά.
Μη. οἵδ' οὐκέτ' εἰσί· τοῦτο γάρ σε δήξεται.
Ια. οἵδ' εἰσίν, οἴμοι, σῷ κάρᾳ μιάστορες.
Μη. ἴσασιν ὅστις ἦρξε πημονῆς θεοί.
Ια. ἴσασι δῆτα σήν γ' ἀπόπτυστον φρένα.
Μη. στύγει· πικρὰν δὲ βάξιν ἐχθαίρω σέθεν.

1351 μακρὰν ἂν V B: μακρὰν δ' ἂν A: ἦ μάκρ' ἂν L P et, ut vid., Σ ἐναντίον V B: ἐναντίοις A: ἐναντία L P Σ 1356 οὐδ' . . . οὐδ' Elmsley: οὔθ' . . . οὔθ' codd. προσθεὶς L P: προθεὶς A V B γάμον A 1357 ἀνατεὶ L P γρ. Σ (ἀνατί): ἄτιμον A B *v*: ἀτίμως V τῆσδ' ἔμ' V 1359 πέδον] glossema σπήλαιον suprascr. in A: versum delet Verrall, fortasse recte. Aut versus spurius aut πέδον corruptum (πέτραν Elmsley: σπέος, πόρον Musgrave) 1362 'γγελᾷς L P B: γελᾷς A V 1363 ἠγκύρ*ατ* H 1364 ὄλεσθε V B 1365 οὐ τοίνυν L P B[2]: οὔτοι νυν A V: οὔτοι νιν A[1] B, quo recepto δεξιά γ' ἀπώλεσεν Hermann, fortasse recte 1366 σοὶ om. A νεόδμητοι L P *v* 1367 σφε κἠξίωσας L P: σφέ γ' ἠξίωσας A V B 1371 οἴμοι L P B: ᾤμοι A: ὤμοι V (ὤμοι· μεταξὺ ἀναπεφώνηκεν Σ): ὠμοὶ Burges: οἶμαι Tyrwhitt 1374 στύγει Weil: στυγῇ codd.

Ια. καὶ μὴν ἐγὼ σήν· ῥᾴδιοι δ' ἀπαλλαγαί.
Μη. πῶς οὖν; τί δράσω; κάρτα γὰρ κἀγὼ θέλω.
Ια. θάψαι νεκρούς μοι τούσδε καὶ κλαῦσαι πάρες.
Μη. οὐ δῆτ', ἐπεί σφας τῇδ' ἐγὼ θάψω χερί,
φέρουσ' ἐς Ἥρας τέμενος Ἀκραίας θεοῦ,
ὡς μή τις αὐτοὺς πολεμίων καθυβρίσῃ,
τύμβους ἀνασπῶν· γῇ δὲ τῇδε Σισύφου
σεμνὴν ἑορτὴν καὶ τέλη προσάψομεν
τὸ λοιπὸν ἀντὶ τοῦδε δυσσεβοῦς φόνου.
αὐτὴ δὲ γαῖαν εἶμι τὴν Ἐρεχθέως,
Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος.
σὺ δ', ὥσπερ εἰκός, κατθανῇ κακὸς κακῶς,
Ἀργοῦς κάρα σὸν λειψάνῳ πεπληγμένος,
πικρὰς τελευτὰς τῶν ἐμῶν γάμων ἰδών.
Ια. ἀλλά σ' Ἐρινὺς ὀλέσειε τέκνων
φονία τε Δίκη.
Μη. τίς δὲ κλύει σοῦ θεὸς ἢ δαίμων,
τοῦ ψευδόρκου καὶ ξειναπάτου;
Ια. φεῦ φεῦ, μυσαρὰ καὶ παιδολέτορ.
Μη. στεῖχε πρὸς οἴκους καὶ θάπτ' ἄλοχον.
Ια. στείχω, δισσῶν γ' ἄμορος τέκνων.
Μη. οὔπω θρηνεῖς· μένε καὶ γῆρας.
Ια. ὦ τέκνα φίλτατα. Μη. μητρί γε, σοὶ δ' οὔ.
Ια. κἄπειτ' ἔκανες; Μη. σέ γε πημαίνουσ'.
Ια. ὤμοι, φιλίου χρῄζω στόματος

1375 ῥᾴδιοι A B L P *v* : ῥᾴδιον V 1377 καῦσαι B. Cf. Andr. 1159 1378 ἐπεὶ σφᾶς A *v* 1380 αὐτοὺς L P *v* : αὐτῶν A B V καθυβρίσῃ L P *v* : καθυβρίσαι A V B : καθυβρίσει suprascr. $V^1$ 1382 τέλος Schol. Il. K 56, Et. Magn. p. 750, Choerob. Epim. p. 112 προσάψομεν $A^1$ V B : προσάψομαι A L P *v* (*v* tamen rursus μεν suprascr.) : προσάξομεν Choerob. et Et. Magn. 1383 τοῦδε] τοῦ A 1386–1388 vv. immerito suspecti 1388 ἐμῶν] νέων Weil 1392 ξειναπάτου V *l* : ξειναπάτα L P B $V^1$ : ξεναπάτα A 1395 γ' ἄμορος P *l* : γ' ἄμμορος B *p* : γ' ἄμοιρος L V : ἄμοιρος A 1396 γῆρασκ' Porson 1398 ἔκανες Elmsley : ἔκτανες codd. (ἔκτας *l*) 1399 ὤμοι] αἶ αἶ L P *v*



παίδων ὁ τάλας προσπτύξασθαι.
Μη. νῦν σφε προσαυδᾷς, νῦν ἀσπάζῃ,
τότ' ἀπωσάμενος. Ια. δός μοι πρὸς θεῶν
μαλακοῦ χρωτὸς ψαῦσαι τέκνων.
Μη. οὐκ ἔστι· μάτην ἔπος ἔρριπται.
Ια. Ζεῦ, τάδ' ἀκούεις ὡς ἀπελαυνόμεθ'
οἷά τε πάσχομεν ἐκ τῆς μυσαρᾶς
καὶ παιδοφόνου τῆσδε λεαίνης;
ἀλλ' ὁπόσον γοῦν πάρα καὶ δύναμαι
τάδε καὶ θρηνῶ κἀπιθεάζω
μαρτυρόμενος δαίμονας ὥς μοι
τέκνα κτείνασ' ἀποκωλύεις
ψαῦσαί τε χεροῖν θάψαι τε νεκρούς,
οὓς μήποτ' ἐγὼ φύσας ὄφελον
πρὸς σοῦ φθιμένους ἐπιδέσθαι.

Χο. πολλῶν ταμίας Ζεὺς ἐν Ὀλύμπῳ,
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί·
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον ηὗρε θεός.
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

1401 σφε] σφας V : corr. *v* 1404 ἔπος B : δ' ἔπος A V : λόγος L P 1405 γρ. ὁρᾷς *v* : γρ. ἰὼ Ζεῦ τάδ' ἀκούεις Σ B : ὦ Ζεῦ τάδ' ὁρᾷς; Kirchhoff 1409 κἀπιθεάζω Blomfield : κἀπιθοάζω codd. 1410 μοι] μου B 1411 τέκνα κτείνασ' L P : τέκν' ἀποκτείνασ' A V B 1413 ὄφελον V : ὤφελον rell. 1414 φθινομένους L P 1416 πολλά τ' $\Pi^9$ ἄελπτα Stob. III. 6 1417 δοκήσαντ' $\Pi^9$ 1419 τόδε L P B : τόδε τὸ A V In fine τέλος εὐριπίδου μηδείας V : τέλος μηδείας A L : τέλος μηδείας εὐριπίδου B. Subscripsit $B^1$ πρὸς διάφορα ἀντίγραφα. Διονυσίου ὁλοσχερές· καί τινα τῶν Διδύμου. Cf. subscriptionem Orestis in M B

**20.** A Hellenistic inscription found at Delphi (*Bull. Corr. Hell.* xlix, 1925, 88) preserves the beginning of this line: ΜΗΔΕΙΑ-ΔΗΔΥΣΤΗ[.

**21. βοᾷ . . . ὅρκους**: "ὅρκοι" is what she actually cries aloud: cf. S. *Ant.* 133 νίκην ἀλαλάξαι, to cry "νίκη", *Ph.* 1154 sq. βοᾷ πῦρ καὶ δικέλλας. βωμός per victimam, ὅρκος per verba, πίστις per dextram, Porson. The contrast of truthful barbarian and lying Greek was a commonplace: v. Introd., pp. xix–xx.

**βοᾷ μὲν . . . ἀνακαλεῖ δὲ . . .**: anaphora with words of similar meaning, cf. *Hek.* 982 φίλη μὲν . . . προσφιλὲς δὲ . . .: S. *OK.* 1501 σαφὴς μὲν . . . ἐμφανὴς δὲ . . .: A. *Pers.* 27 φοβεροὶ μὲν . . . δεινοὶ δὲ . . . (Wecklein).

Since Eur. used neither accents nor punctuation, nobody has ever known whether he intended δεξιάς, πίστιν or δεξιᾶς πίστιν. S. *OK.* 1632 χερὸς σῆς πίστιν, *Phil.* 813 χειρὸς πίστιν suggest that δεξιᾶς πίστιν was the normal phrase. On the meaning of δεξιᾶς πίστιν v. 412 n. *infra.*

**24. ἄσιτος**: So Penelope in δ 789 κεῖτ' ἄρ' ἄσιτος, ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος: Aias in S. *Ai.* 324 ἄσιτος ἀνήρ, ἄποτος: Phaidra in *Hipp.* 274 sq. τριταίαν γ' οὖσ' ἄσιτος ἡμέραν: Iphis in *Hik.* 1105–6 ἀσιτίαις ἐμὸν δέμας ἀποφθερῶ: Orestes in *Or.* 39–41.

**ὑφεῖσ'**: *submittens*, surrendering.

**ἀλγηδόσι.** 'Quo minus refert, eo difficilius est eligere', Elmsley. 'Αλγηδ. occurs plural four times in Eur., once only (v. 56 *infra*, where the plural could hardly stand) singular. The plural is therefore slightly likelier here.

**25.** *συντείνουσα*: merely an emendation by some one as puzzled by συντήκουσα as modern edd. Schol. says συντήκουσα here is intransitive, but there is no parallel [συντέτηκα, like many other active perfects, is used intransitively]. Most edd. take σῶμα as object of συντήκ., but the awkwardness of the intervening τὸν πάντα χρόνον is a very serious objection. The true explanation can be derived from the parallel of *IA.* 398 ἐμὲ δὲ συντήξουσι νύκτες ἡμέραι τε δακρύοις. There 'time wastes me away with tears', here 'I waste time away with tears'. There is no longer much obscurity when we see that τὸν χρόνον here is nearly equivalent to (a part of) *her lifetime*: i.e. there is little significant difference between συντήκει τὸν χρόνον and v. 141 τάκει βιοτάν. True, χρόνος usually = time *as opposed to* αἰών = lifetime: but τὸν πάντα . . . ἐπεί here gives the necessary limitation.

The last vestige of doubt may disappear when we consider the way in which Greek often expresses the relation between a person and the time during which he lives. A man's *time* is regarded as something which is born together with him (A. *Ag.* 107 σύμφυτος αἰών, S. *OT.* 1082–3 συγγενεῖς μῆνες), grows up with him (S. *Ai.* 622 παλαιᾷ σύντροφος ἁμέρᾳ), sleeps when he sleeps (A. *Ag.* 894 τοῦ ξυνεύδοντος χρόνου), is always with him (S. *OK.* 7 χρόνος ξυνών), and grows old with him (S. *OT.* 963 μακρῷ συμ-

816. v. App. Crit.: *nouns* for the two children are nowhere else dual in this play; but *verbs* are, and it is difficult to think of a good reason why a noun should not be. B's obviously inappropriate σὸν παῖδα is probably a deliberate 'correction' of the unwelcome dual. I find no safe criterion for deciding between σὼ παῖδε and σὸν σπέρμα here: v. 1158 n. I print the latter doubtfully.

819. ἴτω: 'let it go': defiance of the possible consequences. S. *Phil.* 120 (Neoptolemos) ἴτω· ποήσω, πᾶσαν αἰσχύνην ἀφείς, 798 above.

820–1. She addresses the Nurse, as 821, 823 clearly prove.

823. *IT.* 1061 γυναῖκές ἐσμεν, φίλοφρον ἀλλήλαις γένος: *Hel.* 329 γυναῖκα γὰρ δὴ συμπονεῖν γυναικὶ χρή: *fr.* 108 γυνὴ γυναικὶ σύμμαχον πέφυκέ πως.

824 sqq. This magnificent hymn to the glory of Athens is intended to divert Medea from her dreadful purpose. 'The chorus hopes that the comparison will deter her from killing her children,' the Scholiast, with uncommon insight, observes, 'it is not likely that such wise and holy men will welcome a murderess'.

'Ἐρεχθεῖδαι: Homer, B 546 sqq. Ἀθήνας, . . . | δῆμον Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ' Ἀθήνη | θρέψε Διὸς θυγάτηρ, τέκε δὲ ζείδωρος ἄρουρα: S. *Ai.* 202 γενεᾶς χθονίων ἀπ' Ἐρεχθεϊδᾶν. Erechtheus, who was born of Earth (Hdt. viii. 55), mythical founder of the Athenian people, was early confused with Erichthonios, son of Hephaistos and Athena (Apollod. iii. 14. 6) or Hephaistos and Earth (Erastosth. *Catast.* 13), cf. A. *Eum.* 13. Athenians are παῖδες Ἡφαίστου. [The Erechtheum on the Acropolis was not completed until 409 B.C., but was begun long before.] Hence they are of divine descent, θεῶν παῖδες, cf. Isocr. *Panath.* 124 ἀπὸ θεῶν . . . γεγονότας: while the original legend of Erechtheus assured them that they were the first and only inhabitants of their land. Among numerous references, cf. Isocr. *Paneg.* 24 ἐξ ἧσπερ ἔφυμεν, ταύτην ἔχοντες ἅπαντα τὸν χρόνον διατελοῦμεν, Perikles in Thuc. ii. 36, Plato, *Menex.* 237 B, Lys. *Epitaph.* § 17, Pseudo-Demo. *Epitaph.* § 4, Hypereides, *Epitaph.* col. 5. [Thuc. i. 2. 5 gives a less romantic account: Attica was never invaded and possessed by foreigners because it was not worth occupying διὰ τὸ λεπτόγεων: paraphrased by Strabo viii. 333 (αὐτόχθονας).] This is why the land is holy, ἱερᾶς (P. *fr.* 63 ἐν ταῖς ἱεραῖς Ἀθήναις), and unravaged, ἀπορθήτου (Strabo, loc. cit. ἀπορθήτους, oracle *ap.* Hdt. vii. 141 τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεὺς | μοῦνον ἀπόρθητον τελέθειν)—holy, because their founder was of divine descent; unravaged, because the men of Attica had never been driven out of their land or superseded by foreigners in it—a few temporary occupations (such as that of the Persians in 480 B.C.) were negligible.

826–7. **φερβόμενοι κλεινοτάταν σοφίαν**: 'education being as indispensable to them as food is to other people', the Schol. σοφία here means *knowledge* in general, but especially of arts and sciences.

Cf. the parody in Ar. *Nub.* 1204 *ὦ καλλίπυργον σοφίαν κλεινοτάτην ἐπασκῶν*; for the metaphor, Lucr. iii. 12 omnia nos itidem *depascimur* aurea dicta. It is possible to take *χώρας ἄπο* as '[born] of a land, etc.', or to take it as governed by *φερβόμενοι σοφίαν*: I prefer the former. Causally connected with this phrase is *βαίνοντες ἁβρῶς διὰ λαμπροτάτου αἰθέρος* (Milton, *P. R.* iv 238–9, 'on th' Aegean shore a city stands | built nobly; pure the air and light the soil'). The relation of climate to character was a subject which interested Ionic philosophers, geographers, and doctors: to whom Euripides is clearly indebted here. The bright clear air, perennial sea-breezes, and healthy temperature fostered an alert and eager people as surely as the dense atmosphere of Boiotia bred pigs. For earlier Ionian speculations cf. Diogenes of Apollonia, A. 19 Diels, *καὶ τὸ φρονεῖν τῷ ἀέρι* (Δ. *ἀνάπτει*): Life of Pythagoras, Photius Cod. 249, p. 441 A, 13 sqq., Attic *παιδεία* is *ἐκ φύσεως ὑπάρχουσα, τοῦ τοιούτου ἀέρος ἰσχνοτάτου ὄντος καὶ καθαρωτάτου, ὡς μὴ μόνον τὴν γῆν λεπτύνειν . . . ἀλλὰ καὶ τὰς ψυχὰς τῶν ἀνθρώπων*: Hippocr. *περὶ ἀέρων ὑδάτων τόπων*, p. 77, 12 sqq. Heiberg, cit. E. Kienzle, *Der Lobpreis von Städtern und Ländern*, Diss. Basel, 1936, p. 17 (to which work I am here indebted). Cf., further, Eur. *fr.* 971. 3 *οὐρανὸν ὑπὲρ γῆς ἔχομεν εὖ κεκραμένον, | ἵν' οὔτ' ἄγαν πῦρ οὔτε χεῖμα συμπίτνει*: Isocr. *Ar.* 74: Plato, *Tim.* 24 C *ἡ θεὸς προτέρους ὑμᾶς κατῴκισεν ἐκλεξαμένη τὸν τόπον ἐν ᾧ γεγένησθε, τὴν εὐκρασίαν τῶν ὡρῶν ἐν αὐτῷ κατιδοῦσα, ὅτι φρονιμωτάτους ἄνδρας οἴσοι*: Aristeid. *Panath.* 100 (I p. 161 Dind.) *οὐ γάρ ἐστιν ὅστις τῶν περὶ γῆν ἀέρων τοσοῦτο ἀφέστηκε γῆς τῇ φύσει, οὐδ' αἰθέρι μᾶλλον εἴκασται*: Cicero, *de fato* 7 Athenis tenue caelum, ex quo acutiores etiam putantur Attici: crassum Thebis, itaque pingues Thebani (cf. Hor. *Ep.* ii. 1. 244 Boeotum in crasso iurares aere natum: Juv. x. 50, on Abdera, vervecum in patria crassoque sub aere: Galen, *de animi moribus*, viii. 822 'at Abdera there are many fools'). *'Υγίεια* was personified and portrayed on an Attic vase described below: v. Introd., p. viii: about twelve months later the clear sky was darkened by the Plague, and the Spartans overran Attica.

830. **βαίνοντες ἁβρῶς**: originally of a step that betrays softness and luxury, then of any dainty or delicate step (1164 below, *Hel.* 1528 *ἁβρὸν πόδα τιθεῖσ'*), so here of the spring of the vigorous athletic Athenian's step.

**αἰθέρος**: here almost 'clime', cf. *Alk.* 594 *αἰθέρα τὰν Μολοσσῶν* (compare *καλλίναον* ibid. 589 with *καλλινάου* here 835).

831. **ἐννέα Πιερίδας κτλ.**: 'They say the nine Pierian Muses created golden-haired Harmony'. [*Not* 'Harmony created the Muses', a meaningless and absurd idea: n.b. the current view that *φυτεύειν* cannot be used of the mother is false, Bacchyl. xvi. 59–60.] *'Αρμονία* here denotes the *Union* of the nine Muses: where these are together, they create a tenth essence, the child of none alone but of all together. All the Nine Muses made their home in Athens: the Athens of the Sophists and Tragedians, of Pheidias, Perikles, Anaxagoras, Douris, Damon, Aristophanes; where Homer was read, and Herodotus recited. For the sense of *'Αρμ.*, *Union*, cf. Empedokles 122. 2 (opp. *Νεῖκος*), 27. 3.



The honour of Harmony leads the poet naturally to Aphrodite (her mother in Eur. *Ph.* 7, h. Apoll. 194). An Attic lekythos (Körte, *Arch. Zeit.*, 1879, 95, cit. Leo, *Hermes*, xv. 306 sqq.) represents *Ἔρως* and *'Αρμονία* together (names inscribed). Beside *Ἔρως* is *Τύχη*, seated in centre; *'Υγίεια* and *Πειθώ* approach from the left, *'Αρμονία* from the right. See further Sittig in P.W.K. VII 2379 sqq., s.v. Harmonia. Cf. A. *Hik.* 1041 sqq. *δέδοται δ' 'Αρμονίᾳ μοῖρ' Ἀφροδίτας | ψεδυρὰ τρίβοι τ' Ἐρώτων.*

835. **Κηφισοῦ**: Apollod. iii. 15. 1 *γήμας δὲ Ἐρεχθεὺς Πραξιθέαν τὴν Φρασίμου καὶ Διογενείας τῆς Κηφισοῦ ἔσχε παῖδας κτλ.*: Kephisos, god of his river, was among the ancestors of the Athenians (cf. *Ion* 1261), related to Erechtheus; so he begins the second stanza as Erechtheus began the first. S. *OK.* 685 *οὐδ' ἄυπνοι κρῆναι μινύθουσιν, Κηφισοῦ νομάδες ῥεέθρων*: Kephisos never failed (to-day it does fail), though Ilissos might be dry for many weeks in the heat of summer. Its channels made the plain green and fertile wherever they flowed: this was owed to the loving care of Aphrodite. Sophocles (*OK.* 691 sqq.) mentions Aphrodite and the Muses together: *οὐδὲ Μουσᾶν χοροί νιν ἀπεστύγησαν οὐδ' ἁ χρυσάνιος Ἀφροδίτα.* She breathes over the land the gentle breezes for which Athene prayed.—*κἀνέμων ἀήματα | εὐηλίως πνέοντ' ἐπιστείχειν χθόνα* (A. *Eum.* 904–5): her temple stood by the Ilissos (Paus. i. 19. 2) and no doubt beside the Kephisos too; the roses (for the Athenian flower-beds see Wilam., *Gr. Trag.* iii, p. 193) which she is for ever twining in her hair have the 'sweet fragrance of divinity' which betrayed the presence of Artemis to dying Hippolytos (*Hipp.* 1391), and of the daughters of Ocean to Prometheus (*PV.* 115 sq.).

**ἐπὶ ῥοαῖς** LP: *ἀπὸ ῥοαῖς* ABV (*ῥοας suprascr.* A): *ἀπὸ ῥοῶν suprascr.* B[2]. It seems likely that *ῥοῶν*, *ῥοας* (*ῥοάς*) are merely emendations, made to improve *ἀπὸ ῥοαῖς*. Against *ἄπο ῥοάς*: *ῥοάς* is a bad object for *ἀφυσσ.*: *ῥοαί* are not that which you draw, but that *from* which you draw. But it is by no means *impossible*. Against *ἀπὸ ῥοᾶς*: *ῥοή* singular hardly ever occurs. In Homer always plural, in lyric and tragic poetry nearly always, Eur. has plural some twenty times, singular only *Ba.* 281 *ἀμπέλου ῥοή* where the plural would be less natural. [*ῥοάν* is thus a bad emendation of *Ion* 118.] Against *ἐπὶ ῥοαῖς* there is no objection. The error *ἀπό* for *ἐπί* gave rise to all the confusion and variants.

839–40. **ἡδυπνόους αὔρας** LP: *αὔρας* (om. *ἡδυπν.*) AVB: *αὔρας ἡδυπνόους* V. Difficulties: (1) *αὔρας* answering *σοφίαν* 829 is an unparalleled freedom of responsion in this metre. Spondees sometimes replace dactyls in the first foot of the dactylic part